aggressus est fugam: et ab
oriente usque ad occidentem per
venit: nusquam sibi vitam
nisi in fuge subsidio sperans.
Is igitur urbem romam ingressus.
utens adminiculo assistentis
sibi et adherentis demonis: vir
tutis quam paredrum vocant:
brevi tempore in tantum illorum
venit profectum: ut etiam symu
lachrum a civibus romanis tanquam
deus honore potiretur. XIII

Sed non in longum permanet:
fraude quesita divinitas.
Continuo nempe in ipsis clau
dii temporibus clemencia divine
providentie per beatissimum om
nium et apostolorum maximum

[illegible] magnificentia [illegible]

dicationis verbo primus in
roma evangelii sui clarum
Inviam celestis regni aperi
Statim cum romane urbi
clarum verbi dei lumen
exortum: symonis quidem
nebre cum suo auctore ex
te sunt. Sermo autem veritatis
lucis qui per petrum predica
universorum mentes placido
illustravit auditu: ita ut cot
audientibus cum ulla saci
fieret. Unde cum neque au
sola eis sufficeret: marci
cipulum eius [illegible] pe
[illegible] ut [illegible]
predicabat [illegible]
monimentum [illegible]
tum traderet: [illegible]

Ce 611

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0001-8

philol. 314.

Ha. 44.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0002-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0003-9

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0004-5

# ΑΛΕΞΑΝΔΡΟΥ

ΑΦΡΟΔΙΣΙΕΩΣ,

Doctissimo πρὸς τοὺς αὐτοκράτορας viro Joachi-

περὶ εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν.

mo Jonasio bonarum artium magistro

# ALEXANDRI

APHRODIENSIS Jo. Caselius

AD IMPP.

## *DE FATO, DE QVE EO, quod in nostra potestate est:*

*LIBER*

*Editus studio & opera*

*JOANNIS CASELII.*

LUEBECKISCHE
STADT-BIBLIOTHEK

Rostochij Typis Myliandrinis.

ANNO

CIↃ. IↃ. XIIC.

DUPLUM.
EX BIBL.
LUBECENS.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0005-0

# AD ANDREAM PAVLLIVM,

## ELECT. SAXON. A SECRETIS CONSILIIS

## Procœmium

## IOAN. CASELII.

ANni ſunt hodie, Andrea Paulli, duo & viginti: quando Bononiæ in eodem contubernio ſatis familiariter viximus: ego tum proſtrata valetudine, tu ætate & viribus florens. Interea effluxit vtrique noſtrum potiſsima vitæ pars, variis tributa moleſtiis & multiplicibus exercita curis: &, ne queri videar, & vt plærique ſolent, in memoria habere incommoda, rerum ſecundarum omnium ſubitò obliuiſci; id tempus & priuatim nobis noſtrisq́; , & publicè multis, fructus tulit haud aſpernandos. Tanto ſpatio neque nos vidimus, neque collocuti fuimus per litteras: atque hoc aut neutrius, aut mea potius culpa, cum ad eam rem fortaſſe mihi plus otij eſſet, quàm tibi. Conſilio enim, ſiue fato meo, ni fallor, haud malo, in litteris perpetuo vixi: tu perfunctus fuiſti multis ſplendidis legationibus, & alias res in rep. geſsiſti vtiles & neceſſarias, cum dignitate, & ſumma tua laude. Neque tamen hoc accidit, quod aiunt, vt animos ſilentij diuturnitas diremerit. Præter enim quàm, quòd amicitiæ obliuio in bonos viros non cadit, quos præſertim litteræ coniunxiſſent; de me quoq; factum fuiſſe reor,

KOEN. FRIED. UNIVERS. ZU HALLE

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0006-6

or, quod de te accidit. Vt enim de te dicam modicè, & sine adulatione: sæpe præstantibus viris in repub. adfui, qui tui perhonorificam mentionem facerent, vt si te non nouissem, tui colendi causæ mihi obiectæ fuerint, quæ solent bonos animos ad beneuolentiam facile permouere, multæ & graues. Habet enim hoc prædicatio virtutis, non solum vt vnumquemq; non malum mirabiliter afficiat & magnopere delectet, verum etiam nos ad eos amandos & suspiciendos excitet, in quibus ipsa quasi domicilium sibi posuit. Quod cum cogitabis; facile tibi persuaseris de perpetua mea in te beneuolentia. Huius autem tuæ in me, & iudicij de me significationem edidisti proximè luculentam, de qua nunc pluribus agere nihil attinet: atq; eam prædicari à me in loco rectius est: quod cum faciam, neq; tu improbabis, & ego facere minimè negligam. Nunc autem mearum partium esse credidi, vt si tibi pari animi mei declaratione, quanta tu me prouocasti, respondere minus possem; in quo me inferiorem facit fortuna, non voluntas: quin hæc si in oculos incurreret, facile animaduerteres, aut me tibi parem, aut esse sedulò conari: præstarem tamen, quod in me esset: immò quod in promptu esset. De quo ego dum dispicio, meum nihil video: est tamen in manibus, in quo operæ aliquid meæ posuerim, vt meum quodammodo videri posit: quemadmodum quos, cum egerent nutriuimus, aut cum rudes essent, expoliuimus, aut cum in vitæ discrimen incidissent, seruauimus, aut de quibus quacumq; ratione bene mereri videmur, in nostris habemus: nec illi se nostros esse negant, si acceptorum beneficiorum meminerint, vt gratos decet. Ipsimet sanè primum debemus plurimum, vel omnia po-

 tius,

tius, monumentis veterum, è quibus haurimus saluberrima vitæ præcepta, & quidquid est sapientiæ: sed ipsi scriptores non parum etiam videntur debere nobis, qui illos è tenebris eruimus, ab iniurijs temporis & inscitiæ vindicamus, illustramus deniq;, siue in ijs illustrandis ingenij neruos intendimus, & multum laboris vigiliarumq; impendimus. Hoc qui faciant, non iam solum de illis ipsis bene mereri videantur, sed etiam de nostro sæculo & de posteris. Quos ego profecto suspicio & admiror potius, quàm vt in ijs nomen meum profitear. Intelligo enim, & agnosco eos, qui pauci equidem solidam operam nauare hac in re possunt: plærosq; nihil valere video: me parum, scio: nisi hoc quoq; nihil est: de quo non valdè pugnem, modo hoc obtineam, me scientiæ studio teneri: cuius rei famam adimere mihi aut minuere quis fortè potest, sitim non potest: hoc est, neq; hoc desiderio me priuare, neq; id etiam explere. Est enim, vt in auaris opum perpetua cupiditas improba: ita laudata in nobis perpetua cupiditas virtutis & sapientiæ. Famam facilè hactenus tueor, tum doctissimorum hominum beneuolentia, quòd studiosum bonæ doctrinæ rectæq; vitæ & sui me obseruantem, animaduerterint, tum imperitiorum suffragijs, qui palmam ei facilè deferunt, quo se inferiores sentiant. Illa quàm diuturna futura sit, hoc in dubium vocari forte non sine caussa possit, quæ stet videlicet iudicio eruditæ posteritatis: neq; hac de re mihi valdè laborandum censeam. In hoc laboro, quod in dubio non relinquam, affirmoq; me agere, vt cum à me abiero, in quo erudiendo primum semperq; satis negotij, ea agam, quibus rei litterariæ subueniatur, & iuuentuti consulatur. Hoc enim potissimum, & prioris finis. Litteræ enim nihil

sint,

ſint, niſi nobis & alijs proſint, non ad bona, de quibus plærique mortalium inter ſe digladiantur, & ingenij rerumq; principes maximè, ſed ad rectè ſapiendum, & rectè beneq; viuendum referantur. Vtinam multos ego ſocios huius inſtituti, longè, ni fallor, laudatiſsimi, habeam, animo & voluntate non inferiores, doctrina & peritia etiam ſuperiores (cur enim ſecus velim, aut inuideam, ſi quid geratur boni, etſi per me non geratur, geratur modo?) nec ad opes, ſiue vnicam rei familiaris curam, vel ad ambitionem atq; contentiones, vel ad nugas quasq; maximè friuolas abeant. Horum quiq; dum ſibi conſulunt, vel ſe ſibi maximè conſulere ſomniant; neq; ſibi reuera conſulunt, & cum ſuum locum, quem ſe tenere præſeferunt, non tuentur, tum publicam vtilitatem prorſus deſerunt: cui vt conſulerent olim boni viri non omittebant alia, ſed etiam vitam, quoties vſus poſtularet, in diſcrimen adducebant. Quid enim ab auaris ſperari publicè poteſt boni? qui vt plurimum, quæ cumulant, ijſdem non fruuntur, & præ eorum ſtudio ex ſe natos ita negligunt, vt cum ampliſsimo etiam patrimonio ipſos quoq; perire patiantur, qui ſeruari mediocri ſumptu & aliqua rectæ educationis diligentia, & florere etiam poſſent. Alterum autem, impotens illud honoris ſtudium & infamis famæ, quam venantur contentioſiſsimi quiq;, magis nocet ſocietati mortalium. Proprij enim cura publici rationem nullam habet, & idipſum ſupinè negligit: ambitio publicum otium aggreditur, & mediocriter conſtituta miſerè perturbat, freta inſcitia & audacia. Hanc illa parit, & in prima acie collocat ad euerſionem rerum, atq; ante omnia ſtudiorum doctrinæ. Tales autem litteris impunè nocent, quod ſe ſcholarum emendatores, & quaſi medicos profi-

tentur, cum ex his aliqui vix didicerint γράμματα, καὶ ταῦτα κακὰ κακῶς, vt ille apud Ariſtophanem: hoc melior, quòd intelligit, & non negat: de quibus fortaſſe mihi dicere aliquid, multi licere non exiſtiment, neq; ego mihi licere volo: quin ipſos quoq; homines miſſos facio: de litteris earumq; in ſcholis priuatis & publicis conſtitutione, mihi licere dicere, & aliquid boni in publicum conſulere, & ego arbitror, nec omnino dubito: & ſi qui hoc nolint fieri, non erunt ea tamen impudentia, vt neq; hoc mihi licere, auſint palam profiteri. Cuius rei ad te ſcribens, virum publicæ vtilitatis ſtudioſiſsimum, & eius imprimis, quæ prouenit è litteris, niſi forte inde omnis prouenire iudicanda eſt; ſummam habeo occaſionem, atq; vti hac ipſa minimè dubitarem, ſi vel longiore epiſtola comprehendi omnis hæc poſsit deliberatio. ¶ Quemadmodum autem paullatim in plerisq; academijs, nondum prorſus exſtirpata, ſed magna tamen ex parte, auorum noſtrum ætate, nec infeliciter conuelli tentata, barbaries repullulet, neq; tu non intelligis, neq; ſine graui animi dolore queo exponere. Nec enim à multis hodie animi pari cura & diligentia rectè expurgantur, nec mores: quod erat omnium primum: nec verè expolitur ſermo: neq; enim quæ ad extemperaneam dicendi facultatem faciunt, & rationem tribunitiam, veræ eloquentiæ particulam redolent; linguæ explicantur perquam pueriliter, & qui in hac re operam ponunt interpretes, non aperiunt, quî veſcamur nucleo, ſed quemadmodum plæriq; apud nos parietes domus ſtanneis & æneis vaſis, ſed inanibus, ornant: ita plurium gentium linguas oſtentamus, ſine ſapientia & vſu ſolido: ſophiſtica pro philoſophia ſe in regias ſcholas ingerit. Nónne enim hoc agitur, cum alij vmbras ingenua-

ſtum

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0010-8

rum artium, & scientiarum, pro ipsis artibus & scientijs pueritiæ obtrudunt? alij ostendunt compendia, & veluti vno bolo omnem sapientiam deglutiendam præbent? alij in ipso meridie tenebras iuuentuti offundunt noua impudentia, polliciti abstrusas vias sapientiæ? Ducunt autem singuli suos manipulos, magistrorum similes. Etenim ex talibus fieri oportet indoctos, contentiosos, & perplexi iudicij homines, qui mirum, si aliquem præstant vsum in vita bonum. Nam quorum mentes ita deprauantur; eorum animos, quæq; hinc sunt actiones, etiam corrumpi necesse est. Mirumne igitur, quoquo te verteris, vel plæraq; peruersè geri, vel multa desiderari? Non igitur sine causa optarim', exoriri in academijs plures (non enim aio esse nullos: licet de paucitate queri) quibus idem cordi sit, quod mihi: id perficiant, quod ego siue facio, quod in me est, sine conor, forte supra vires. In cæteris autem, quæ ago, valdè hoc laboro, vt veteres scriptores vtriusq; linguæ sint in manibus iuuentutis, recteq; ab omnibus intelligantur: & bonæ item disciplinæ è suis auctoribus, non è cænosis lacunis hauriantur. Ad vtramq; rem magistris opus est idoneis: & doctoribus necessarij sunt interpretes, quòd nemo ita venerit in sapientię omnem vniuersę possessionem, vt non plurimum etiam ab alijs sumere necesse habeat. Inter principis autem philosophorum interpretes, facilè primum locum, eruditissimorum iudicio tenet, ipse philosophus, Alexander Aphrodisiensis, quòd doctissimus, quòd disertissimus. Eius liber de fato, quem ad duos Imperatores, Seuerum & Antoninum misit, cum opera mea modo accuratius & emendatius ederetur, tu mihi fatóne, an casu? oblatus es, quem in vestibulo operis compellarem. Quod tibi donem, non habeo.

Nihil

Nihil enim hic meum, præter vigilias, quas exhausi, & hanc epistolam, qua & veterem amicitiam recolo, & attingo communes litteras. Quod si quid hic meum esse vides, noli aspernari, vel quando id nimis exiguum est, quod etiam nihil esse fatebor; me tibi ipsum habe, & hanc mihi refer gratiam, vt esse meus ne desinas, & in istis occupationibus de emendatione rei litterariæ porrò cogites. Quod à tua sapientia & auctoritate proficiscetur; id felix erit & faustum. Vale. Rostochio. Kal. Nouemb, Anno

CIↃ IↃ XIIIC.

# ΑΛΕΞΑΝΔΡΟΥ ΑΦΡΟΔΙΣΙΕΩΣ, ΠΡΟΣ ΤΟΥΣ ΑΥΤΟΚΡΑΤΟΡΑΣ

## περὶ εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν.

Ἦν μὲν δι' εὐχῆς μοι, μέγιστοι αὐτοκράτορες Σεβῆρε καὶ Ἀντωνῖνε, αὐτῷ γενομένῳ παρ' ὑμῖν, ἰδεῖν τε ὑμᾶς καὶ προσειπεῖν, καὶ χάριν καθομολογῆσαι, ἀνθ' ὧν ἔπαθον εὖ παρ' ὑμῶν πολλάκις, ἀεὶ τυχὼν πάντων ὧν ἠξίωσα, μετὰ μαρτυρίας, ὧν δίκαιος εἶναι τυγχάνειν, τοιαῦτα αἰτούμενος. ἐπεὶ δ' ἐφεῖται, καὶ εἰ μὴ παρὼν τις τοῖς ἱεροῖς θύειν τοῖς θεοῖς δύναται, τὸ θύειν αὐτοῖς πανταχόθεν τε καὶ πανταχοῦ, καὶ πέμπειν ἀναθήματα, ἃ μὴ κομίζειν αὐτὸς οἷός τε ἦν, ἐθάρρησα πρὸς ὑμᾶς, τῇ πρὸς τὸ θεῖον ἐξουσίᾳ, καί τινα ἀπαρχὴν ὑμῖν τῶν ὑμετέρων καρπῶν, ἀνάθημα πέμψαι, οἰκειότατον ἡμῖν ἀναθημάτων ἁπάντων. τί γὰρ ἂν οἰκειότερον, τοῖς γνησίως φιλοσοφίαν τιμῶσί τε καὶ προάγουσιν, ἀνάθημα γένοιτο βιβλίου ὑπισχνουμένου θεωρίαν φιλόσοφον; περιέχει τε τὸ βιβλίον τὴν δόξαν τὴν Ἀριστοτέλους, ἣν ἔχει περί τε εἱμαρμένης καὶ τοῦ ἐφ' ἡμῖν, οὗ τῆς φιλοσοφίας προΐσταμαι ὑπὸ τῆς ἡμετέρας μαρτυρίας διδάσκαλος αὐτῆς κεκηρυγμένος. ἔστι δὲ οὐδενὸς δεύτερον τῶν κατὰ φιλοσοφίαν δογμάτων τοῦτο τὸ

δόγμα. ἥ τε γὰρ ἀπ' αὐτοῦ χρεία πανταχοῦ τε, καὶ ἐπὶ πάντα διατείνει. οὔτε γὰρ ὁμοίως περὶ τὰς πράξεις ἔχουσιν, οἵ τε πάντα ἐξ ἀνάγκης τε καὶ καθ' εἱμαρμένην γίνεσθαι πεπιστευκότες, καὶ οἷς δοκεῖ γίνεσθαί τινα, ἃ καὶ μὴ τοῦ πάντως ἔσεσθαι προκαταβεβλημένας αἰτίας ἔχουσιν. ἥ τε εὕρεσις τῆς ἀληθείας, τῆς ἐν αὐτῇ, χαλεπωτάτη δοκεῖ, τῷ δοκεῖν τῶν δοξῶν ἑκατέρᾳ πολλὰ ἀντιμαρτυρεῖν τῶν ἐναργῶν. ἐπεὶ δὲ ἐνίων δογμάτων κατασκευὴ, διὰ τὴν πρὸς τοὺς μὴ ὁμοίως λέγοντας ἀντιλογίαν γίνεται φανερωτέρα, (ὧν ἐν τοῖς μάλιστα καὶ αὐτό, τί εἴη ἂν μεῖζον ἢ κατὰ τὴν Ἀριστοτέλους δόξαν εἰπεῖν;) ποιήσομαι τὸν λόγον πρὸς τοὺς οὐχ ὁμοίως ἐκείνῳ περὶ τούτων εἰρηκότας, ὅπως ἐν τῇ τῶν λεγομένων παραθέσει φανερώτερον ἡμῖν τἀληθὲς γένηται. ἔστι δὲ ἡ τῶν λόγων τῶν ἡμετέρων προαίρεσις, οὐ πρὸς ἐπίδειξιν νενευκυῖα, ἀλλὰ πρὸς ἐξέτασίν τε καὶ διδασκαλίαν τῶν προκειμένων ἀκριβεστέραν, ἣν καὶ ὑμᾶς πᾶσιν, οἷς πράσσετε, ὁρᾶν ἔνεστιν ἐζηλωκότας. οὐδεμίαν γοῦν πρᾶξιν ὑμῶν ἔστιν εὑρεῖν, ἐν ᾗ τὴν φαντασίαν πρὸ τῆς ἀληθείας σκοπὸν πεποίησθε. εἰ δὲ κατὰ σχολὴν ἐντυγχάνουσιν ἡμῖν τῷ βιβλίῳ, δόξει ῥηθῆναι δεῖν γνωριμώτερον, ἀξιῶ τιμηθῆναι καὶ ταύτῃ τῇ τιμῇ παρ' ὑμῶν, καὶ γραφῆναι μοι περὶ τῶν ζητουμένων. οὐδὲ γὰρ ῥᾴδιον πάντα γνώριμα ποιῆσαι δι' ἑνὸς βιβλίου, αὐτά, τε τὰ προκείμενα, καὶ οἷς τις χρῆται πρὸς τὴν μήνυσιν αὐτῶν.

Τὸ μὲν οὖν εἶναί τι τὴν εἱμαρμένην, καὶ αἰτίαν εἶναι τοῦ

γινε-

γίνεσθαί τινα καθ' αὐτὴν, ἱκανῶς ἡ τῶν ἀνθρώπων συνίστησι πρόληψις. οὐ γὰρ κενὸν, οὐδ' ἄστοχον τἀληθοῦς ἡ κοινὴ τῶν ἀνθρώπων φύσις, καθ' ἣν περί τινων ὁμοδοξοῦσιν ἀλλήλοις, ὅσοι γε αὐτῶν μὴ διά τινας προκαταβεβλημένας δόξας ὑφ' αὑτῶν, διὰ τὸ σώζειν βούλεσθαι τὴν πρὸς αὐτὰς ἀκολουθίαν, ἄλλως ἀναγκάζονται λέγειν. δι' ἣν αἰτίαν οὐδὲ Ἀναξαγόρας ὁ Κλαζομένιος, καί τοι τἆλλα ὢν ἐν τοῖς τὴν φυσικὴν φιλοσοφίαν φιλοσοφήσασιν οὐκ ἀπερριμμένος, οὐκ ἀξιόπιστος, ἀντιμαρτυρῶν τῇ κοινῇ τῶν ἀνθρώπων πίστει περὶ εἱμαρμένης. λέγει γὰρ οὗτός γε, τῶν γινομένων μηδὲν γίνεσθαι καθ' εἱμαρμένην, ἀλλ' εἶναι κενὸν τοῦτο τοὔνομα. Τί δή ποτ' οὖν ἐστιν ἡ εἱμαρμένη καὶ ἐν τίσιν, οὐκέτι. οὐ γὰρ μόνον οὐκ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ ἡ τῶν ἀνθρώπων κοινὴ πρόληψις ἱκανὴ τοῦτο μηνῦσαι. οὔτε γὰρ ἀλλήλοις ἅπαντες, ἀλλ' οὐδὲ αὐτὸς αὑτῷ τις περὶ αὐτῆς αἰεὶ τὰ αὐτὰ δοξάζει. πρὸς γὰρ τοὺς καιρούς τε καὶ τὰς περιεστώσας τύχας, καὶ τὴν περὶ τῆς εἱμαρμένης δόξαν μεταφέρουσιν. ὅσοι μὲν γὰρ αὐτῶν πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσι, τὴν εἱμαρμένην ὑπολαμβάνουσιν ἀπαράβατόν τινα αἰτίαν εἶναι, καὶ ἀναπόδραστον. εἰσὶν δ' οἷς οὐ πάντα τὰ γινόμενα γίνεσθαι δοκεῖ καθ' εἱμαρμένην, ἀλλ' εἶναί τινας ὑπολαμβάνουσι τῶν γινομένων καὶ ἄλλας αἰτίας, ἀλλ' οὐ τὴν εἱμαρμένην αὐτὴν τὸ πάγιόν τε καὶ ἀπαράβατον ἔχειν τίθενται, ἀλλὰ γίνεσθαί τινα καὶ τῶν καθ' εἱμαρμένην γίνεσθαι πεφυκότων, οὐ κατὰ ταύτην, ἀλλὰ

παρὰ μοῖραν, ὡς οἱ ποιηταί φασιν, καὶ παρὰ τὴν εἱμαρμένην. εἰσὶν δ' οἷς ὅτι πάντα γίνεσθαι τὰ γινόμενα δοκεῖ καθ' εἱμαρμένην, καὶ μάλιστ', ἂν αὐτοῖς τὰ τῆς τύχης ἀντιπίπτῃ. κατορθοῦντες δὲ ἐν τοῖς προκειμένοις, αὐτοὺς αἰτίους εἶναι τῶν κατορθωμάτων ὑπολαμβάνουσιν, ὡς οὐκ ἂν ἀπαντησάντων τῶν ἀπηντηκότων, εἰ μὴ αὐτοὶ τάδε μᾶλλον ἔπραξαν ἀντὶ τῶνδε, ὡς ἔχοντες καὶ τοῦ μὴ πράττειν αὐτὰ τὴν ἐξουσίαν. δι' ἣν διαφωνίαν, ἀναγκαία τοῖς φιλοσοφοῦσιν ἡ ζήτησις περὶ τῆς εἱμαρμένης, οὐκ εἰ ἔστι, ἀλλὰ τί ποτ' ἐστί, καὶ ἐν τίσιν τῶν γινομένων τε καὶ ὄντων ἐστὶν ἡ τοιαύτη φύσις.

Ὅτι μὲν οὖν αἰτίαν τινὰ τὴν εἱμαρμένην τοῖς γινομένοις εἶναι λέγουσι πάντες οἱ περὶ εἱμαρμένης λέγοντές τι, γνώριμον. ταύτην γὰρ ἀποδιδόασί τε καὶ φασὶν αἰτίαν εἶναι τοῦ γίνεσθαι τὰ γινόμενα ὃν τρόπον γίνεται. ἐπεὶ δὲ πλεοναχῶς λέγεται τὰ αἴτια, ἀναγκαῖον τοῖς ἐν τάξει τὸ πρόβλημα μετιοῦσι πρῶτον λαβεῖν, ὑπὸ τίνα τρόπον τῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην. οὐδὲν γὰρ τῶν πολλαχῶς λεγομένων γνώριμον χωρὶς τῆς οἰκείας διαιρέσεως λεγόμενον. Διαιρεῖται δὲ τὰ τῶν γινομένων αἴτια εἰς τρόπους αἰτίων τέσσαρας, καθὼς θεῖος Ἀριστοτέλης δέδειχεν. τῶν γὰρ αἰτίων, τὰ μὲν ἐστὶν ποιητικά, τὰ δὲ ὕλης ἐπέχει λόγον. ἔστι δέ τις ἐν αὐτοῖς καὶ ἡ κατὰ τὸ εἶδος αἰτία. παρὰ δὲ τρεῖς ταύτας αἰτίας, ἐστὶν αἴτιον ἐν αὐτοῖς καὶ τὸ τέλος, οὗ χάριν καὶ τὸ γινόμενον γίνεται. καὶ τοσαῦται μὲν αἱ τῶν αἰτίων διαφοραί. ὅ, τι γὰρ ἂν αἴτιον ᾖ

τινος, ὑπὸ τούτων τι τῶν αἰτίων ὂν εὑρεθήσεται. καὶ γὰρ, εἰ μὴ πάντα τὰ γινόμενα οὐχ ὑπερβαίνει τὸν ἀριθμὸν τῶν εἰρημένων. γνωριμωτέρα γὰρ ἂν αὐτῶν ἡ διαφορὰ γίνοιτο, εἰ ἐπὶ παραδείγματός τινος τῶν γινομένων ὁραθείη. ἔστω γὰρ ἐπ' ἀνδριάντος ἡμῖν ἡ τῶν αἰτίων δεικνυμένη διαίρεσις. τοῦ δὲ ἀνδριάντος μὲν ποιητικὸν αἴτιον ὁ ποιήσας τεχνίτης, ὃν ἀνδριαντοποιὸν καλοῦμεν. ὡς δὲ ἡ ὕλη, ὁ ὑποκείμενος χαλκὸς ἢ λίθος, ἢ ὅτι ἂν ᾖ ὑπὸ τοῦ τεχνίτου σχηματιζόμενον κατὰ τὴν τέχνην. αἴτιον γὰρ καὶ τοῦτο τοῦ γεγονέναι τε καὶ εἶναι τὸν ἀνδριάντα. ἔστι δὲ καὶ τὸ εἶδος τὸ ἐν τῷ ὑποκειμένῳ ὑπὸ τοῦ τεχνίτου, καὶ αὐτὸ τοῦ ἀνδριάντος αἴτιον. διὸ ὅ ἐστιν εἶδος, δισκεύων, ἢ ἀκοντίζων, ἢ ἐπ' ἄλλου τινὸς ὡρισμένου σχήματος. οὐ μόνα δὲ ταῦτα τῆς τοῦ ἀνδριάντος γενέσεως αἴτιά ἐστιν. οὐδενὸς γὰρ τῶν αἰτίων τῆς γενέσεως αὐτοῦ δεύτερον τὸ τέλος, οὗ χάριν γεγονός ἐστιν, ἢ τιμὴ τινὸς, ἢ εἴ τινος εὐσέβειά τις. ἄνευ γὰρ τοιαύτης αἰτίας, οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς ἐγένετο. ὄντων τοίνυν αἰτίων τῶν τοσούτων καὶ τὴν πρὸς ἄλληλα διαφορὰν ἐχόντων γνώριμον, τὴν εἱμαρμένην ἐν τοῖς ποιητικοῖς αἰτίοις δικαίως ἂν καταριθμοῖμεν, ἀναλογίαν σώζουσαν πρὸς τὰ γινόμενα, κατ' αὐτὴν τῷ τοῦ ἀνδριάντος δημιουργῷ τεχνίτῃ.

Τούτου δ' οὕτως ἔχοντος, ἀκόλουθον ἂν εἴη περὶ τῶν ποιητικῶν αἰτίων ποιήσασθαι τὸν λόγον. οὕτω γὰρ ἔσται γνώριμον, εἴτε πάντων τῶν γινομένων χρὴ τὴν εἱμαρμένην αἰτιᾶσθαι, εἴτε δεῖ καὶ ἄλλοις τισὶ παρὰ ταύτην συγχω-

ργων, ὡς οὖσι ποιητικοῖς τινῶν αἰτίοις. ἁπάντων δὲ τῶν γινομένων Ἀριστοτέλης ποιούμενος τὴν διαίρεσιν, τὰ μὲν αὐτῶν τινος χάριν γίνεσθαι λέγει, σκοπόν τινα τῶν γινομένων προκείμενον ἔχοντος τοῦ ποιοῦντος αὐτά, τὰ δὲ οὐδενός. ὅσα γὰρ οὐ κατὰ πρόθεσίν τινα ὑπὸ τοῦ ποιοῦντος γίνεται, οὐδ᾽ ἐπὶ τέλος ὡρισμένον ἔχει τὴν ἀναφορὰν τοιαῦτα, ὁποῖά ἐστι καρφῶν τε τινῶν * διακρατήσεις, καὶ περιστροφαί, καὶ τριχῶν ἐπαφαί τε καὶ ἐκτάσεις, καὶ ὅσα τούτοις ὅμοια. ὅτι μὲν οὖν γίνεται καὶ αὐτά, γνώριμον, οὐ μὴν ἔχει τὴν κατὰ τὸ τέλος καὶ τινὸς χάριν αἰτίαν. τὰ μὲν οὖν οὕτω γινόμενα ἀσκόπως τε καὶ ἁπλῶς γινόμενα, οὐδεμίαν εὔλογον ἔχει διαίρεσιν. τῶν δ᾽ ἐπί τι τὴν ἀναφορὰν ἐχόντων, καὶ τινὸς γινομένων χάριν, τὰ μὲν κατὰ τὴν φύσιν, τὰ δὲ κατὰ τὸν λόγον γίνεται. τά τε γὰρ φύσιν αἰτίαν ἔχοντα τῆς γενέσεως, κατά τινας ἀριθμοὺς καὶ τάξιν ὡρισμένην πρόεισιν εἰς τέλος· ἐν ᾧ γενόμενα τῆς γενέσεως παύεται, εἰ μή τι αὐτοῖς ἐνστὰν, ἐμπόδιον γένοιτο τῇ κατὰ φύσιν αὐτῶν ἐπὶ τὸ προκείμενον τέλος ὁδῷ. ἀλλὰ καὶ τὰ κατὰ λόγον γινόμενα, ἔχει τι τέλος. οὐδὲν γὰρ, ὡς ἔτυχεν, τῶν κατὰ λόγον γινομένων, γίνεται, ἀλλ᾽ ἐπί τινα σκοπὸν ἡ ἀναφορὰ πᾶσιν αὐτοῖς. δοκεῖ δὲ κατὰ λόγον γινόμενα, ὅσα ὑπὸ τῶν ποιούντων αὐτὰ γίνεται, λογιζομένων τε περὶ αὐτῶν καὶ συντιθέντων, καθ᾽ ὃν ἂν τρόπον γένοιτο. οὕτω γίνοιτο τὰ κατὰ τὰς τέχνας γινόμενα πάντα καὶ κατὰ προαίρεσιν· ἃ διαφέρει τῶν γινομένων φύσει, τῷ τὰ μὲν φύσει γινόμενα, ἐν αὐτοῖς ἔχειν τὴν ἀρχήν τε καὶ αἰτίαν τῆς τοιαύτης γενέσεως. τοιοῦτον γὰρ ἡ φύσις. καὶ

γίνεται

γίνεται μὲν κατὰ τάξιν τινά, οὐ μὴν τῆς ποιούσης αὐτὰ φύσεως ὁμοίως ταῖς τέχναις λογισμῷ περὶ αὐτῶν χρωμένης· τὰ δὲ γινόμενα κατὰ τέχνην τε καὶ προαίρεσιν ἔξωθεν ἔχει τὴν ἀρχὴν τῆς κινήσεως καὶ τὴν αἰτίαν τὴν ποιοῦσαν, ἀλλ' οὐκ ἐν αὐτοῖς, καὶ τῆς γενέσεως αὐτοῖς τοῦ ποιοῦντος γίνεται περὶ αὐτῶν λογισμός. ἔστιν οὖν τοῖς ἕνεκά του γινομένοις καὶ τὰ ἀπὸ τύχης τε καὶ ἀπὸ ταὐτομάτου γίνεσθαι πεπιστευμένα, ταύτῃ τῶν προηγουμένων ἕνεκά του γινομένων διαφέροντα, ᾗ ἐπ' ἐκείνων μέν, ὅτι πᾶν τὸ πρὸ τοῦ τέλους γινόμενον, τοῦ τέλους χάριν γίνεται· ἐπὶ δὲ τούτων, τὰ μὲν γινόμενα πρὸ τοῦ τέλους, ἄλλου χάριν γίνεται, ἀπαντᾷ δ' αὐτοῖς ἄλλου χάριν γινομένοις, ὡς τέλος, τὸ αὐτομάτως καὶ ἀπὸ τύχης γίνεσθαι λεγόμενον.

Τούτων δ' οὕτως ἐχόντων καὶ πάντων τῶν γινομένων εἰς τούτους τοὺς τρόπους νενεμημένων, ἀκόλουθον ἐπὶ τούτοις ἰδεῖν, ἐν ποίῳ τῶν ποιητικῶν αἰτίων χρὴ τιθέναι τὴν εἱμαρμένην. ἆρά γε ἐν τοῖς οὐδενὸς γινομένοις χάριν; ἢ τοῦτο μὲν παντάπασιν ἄλογον· ἀεὶ γὰρ ἐπὶ τέλους τινός, τῷ τῆς εἱμαρμένης ὀνόματι χρώμεθα, καθ' εἱμαρμένην αὐτὸ λέγοντες γεγονέναι. διὸ ἐν τοῖς ἕνεκά του γινομένων γινομένοις, ἀνάγκη τιθέναι τὴν εἱμαρμένην. καὶ ἐπεὶ τῶν ἕνεκά του γινομένων, τὰ μὲν γίνεται κατὰ λόγον, τὰ δὲ κατὰ φύσιν, ἢ ἐν ἀμφοτέροις αὐτοῖς τὴν εἱμαρμένην ἀναγκαῖον εἶναι τίθεσθαι, ὡς πάντα τὰ γινόμενα καθ' εἱμαρμένην γίνεσθαι λέγειν, ἢ ἐν θατέρῳ. ἀλλὰ τὰ μὲν κατὰ λόγον γινόμενα, τούτῳ δοκεῖ γίνεσθαι κατὰ λόγον, τῷ τὸ ποιοῦντα αὐτὰ καὶ τοῦ μὴ ποιεῖν ἔχειν ἐξουσίαν. τά τε γὰρ

ὑπὸ τῶν τεχνιτῶν γινόμενα κατὰ τέχνην, οὐκ ἐξ ἀνάγκης ὑπ' αὐτῶν γίνεσθαι δοκεῖ. οὕτω γοῦν ἕκαστον ποιοῦσιν αὐτοί, ὡς καὶ τοῦ μὴ ποιεῖν αὐτὰ τὴν ἴσην ἔχοντες ἐξουσίαν. ἔτι τε πῶς οὐκ ἄτοπον τὴν οἰκίαν καὶ τὴν κλίνην, καθ' εἱμαρμένην λέγειν γεγονέναι, ἢ τὴν λύραν ἡρμόσθαι; ἀλλὰ μὴν καὶ ὧν προαίρεσις κυρία. ταῦτα δ' ἐστὶν ὅσα κατ' ἀρετήν τε καὶ κακίαν πράττεται. καὶ ταῦτα ἐφ' ἡμῖν εἶναι δοκεῖ: εἰ ἐφ' ἡμῖν δὲ ταῦτα, ὧν καὶ τοῦ πραχθῆναι, καὶ τοῦ μὴ πραχθῆναι εἶναι δοκοῦμεν κύριοι. τούτων δὲ οὐχ οἷόν τε λέγειν αἰτίαν τὴν εἱμαρμένην, οὐδὲ ἀρχὰς εἶναι τινὰς καὶ αἰτίας ἔξωθεν προκαταβεβλημένας, τοῦ πάντως ἢ γενέσθαι τι αὐτῶν ἢ μὴ γενέσθαι. οὐκ ἔτι γὰρ ἂν εἴη τι τούτων ἐφ' ἡμῖν ἢ γένοιτο, τοῦτον τὸν τρόπον. λείπεται δὴ λοιπόν, τὴν εἱμαρμένην ἐν τοῖς φύσει γινομένοις εἶναι λέγειν, ὡς εἶναι ταὐτὸν εἱμαρμένην τε καὶ φύσιν. τό, τε γὰρ εἱμαρμένον, κατὰ φύσιν, καὶ τὸ κατὰ φύσιν, εἱμαρμένον. οὐ γὰρ κατὰ φύσιν μέν ἐστιν ἄνθρωπον ἐξ ἀνθρώπου, ἵππον ἐξ ἵππου γίνεσθαι, καθ' εἱμαρμένην δ' οὔ, ἀλλὰ συνοδεύει τὰ αἴτια ταῦτα ἀλλήλοις, ὡς ἂν ἔχοντα κατὰ τοὔνομα μόνον τὴν διαφοράν. διὸ καὶ τὰ πρῶτα τῆς κατὰ φύσιν ἑκάστοις γενέσεως αἴτιά ἐστιν. οἱ δὲ αὐτὰ τὰ θεῖα, καὶ τὴν τούτων εὔτακτον περιφοράν, καὶ τῆς εἱμαρμένης αἴτια λέγουσιν. πάσης γὰρ γενέσεως ἀρχὴ ἡ τῶν θείων κατὰ τὴν κίνησιν ποιὰ σχέσις πρὸς τὰ τῇδε.

Οὔσης δὲ τῆς εἱμαρμένης ἐν τούτοις, καὶ τοιαύτης, ἀναγκαῖον, ὡς ἂν ἔχῃ τὰ γινόμενα κατὰ φύσιν, οὕτως ἔ-

χειν καὶ

χειν καὶ τὰ καθ' εἱμαρμένην. Ἀλλὰ μὴν τὰ γινόμενα κατὰ
φύσιν οὐκ ἐξ ἀνάγκης γίνεται, ἀλλ' ἔστιν ἡ γένεσις τῶν οὕτω
γινομένων ἐμποδιζομένη. διὸ ποτὲ μὲν ὡς ἐπὶ τὸ πλεῖστον
γίνεται τὰ γινόμενα κατὰ φύσιν, οὐ μὴν ἐξ ἀνάγκης.
χώραν γὰρ ἐν αὐτοῖς ἔχει καὶ τὸ παρὰ φύσιν, καὶ γίνε-
ται ὑπό τινος αἰτίας ἔξωθεν παρεμποδισθείσης τῆς φύ-
σεως εἰς τὸ ἔργον τὸ ἑαυτῆς. διὸ οὔτε ἐξ ἀνάγκης ἄνθρω-
πος ἐξ ἀνθρώπου, ἀλλ' ὡς ἐπὶ τὸ πλεῖστον. ὥστε καὶ κα-
τὰ τὴν ὥραν τὴν δοκοῦσαν προθεσμίαν τοῖς γινομένοις κατὰ
φύσιν, ἕκαστον τῶν οὕτω γινομένων ἀεὶ γίνεται. ὄντος δὲ
ἐν τοῖς γινομένοις κατὰ φύσιν, καὶ παρὰ φύσιν, ὥσπερ καὶ
ἐν τοῖς κατὰ τέχνην, χώραν ἂν ἔχοι καὶ ἐν τοῖς κατὰ τὴν
εἱμαρμένην γινομένοις, τὸ παρὰ τὴν εἱμαρμένην. ὥστ' εἰ
χώραν ἔχοι τὸ παρὰ φύσιν, καὶ μὴ κενόν ἐστιν ὄνομα, ἔχοι
ἂν ἐν τοῖς γινομένοις χώραν καὶ τὸ παρὰ τὴν εἱμαρμένην.
διὸ καὶ λέγοι τις ἂν εὐλόγως τὴν οἰκείαν φύσιν ἀρχὴν
ἑκάστου καὶ αἰτίαν εἶναι τῆς τῶν γινομένων ἐν αὐτῷ κατὰ
φύσιν τάξεως. ἀπὸ ταύτης γὰρ ὡς ἐπὶ τὸ πλεῖστον οἵ τε βίοι
τῶν ἀνθρώπων τὴν τάξιν, καὶ τὴν καταστροφὴν λαμβάνου-
σιν. ὁρῶμεν οὖν, ὅτι καὶ τὸ σῶμα τῷ τοιὸν, ἢ τοιὸν εἶναι
τὴν φύσιν, καὶ ἐν νόσοις καὶ φθοραῖς ἀκολούθως τῇ φυσικῇ
συστάσει γίνεται· οὐ μὴν ἐξ ἀνάγκης. ἱκαναὶ γὰρ ἐκκροῦ-
σαι τὴν τοιαύτην τάξιν, ἐπιμέλειαί τε καὶ ἀέρων ὑπαλ-
λαγαὶ, καὶ προστάξεις ἰατρῶν, καὶ συμβουλαὶ θεῶν. κατὰ δὲ
τὸν αὐτὸν τρόπον, καὶ ἐπὶ τῆς ψυχῆς εὕροι τις ἂν παρὰ τὴν
φυσικὴν κατασκευὴν διαφόρους γινομένας ἑκάστῳ τάς τε

 προαι-

προαιρέσεις, καὶ τὰς πράξεις, καὶ τοὺς βίους. ἦθος γὰρ ἀνθρώπων δαίμων, κατὰ τὸν Ἡράκλειτον, τουτέστι φύσις. ὡς ἐπιπλεῖστον γὰρ ταῖς φυσικαῖς κατασκευαῖς τε καὶ διαθέσεσι, τάς τε πράξεις καὶ τοὺς βίους καὶ τὰς καταστροφὰς αὐτῶν ἀκολούθους ἰδεῖν ἐστι. τῷ μὲν γὰρ φιλοκινδύνῳ καὶ θρασεῖ φύσει, βίαιός τις καὶ ὁ θάνατος ὡς ἐπὶ τὸ πλεῖστον. αὕτη γὰρ ἡ τῆς φύσεως εἱμαρμένη. τῷ δέ γε ἀκολάστῳ τὴν φύσιν, τό, τε ἐν ἡδοναῖς τοιαύταις καταζῆν, καὶ ὁ τῶν ἀκρατῶν βίος: ἀλλ' εἴ τι κάλλιον ἐν αὐτῷ γινόμενον ἐκστῇ τοῦ κατὰ φύσιν, αἱ τῶν πόνων ὑπομοναὶ καὶ αἱ κακοπάθειαι, καὶ ἐν τοῖς τοιούτοις τοῦ βίου καταστροφαὶ πάλιν εἰσὶ καθ' εἱμαρμένην. καὶ τοῖς ἀνελευθέροις δὲ τὴν φύσιν, καὶ ἀπλήστοις περὶ κτῆσιν χρημάτων, καὶ τὰ τῆς εἱμαρμένης σύνῳδα. ἐν ἀδικίαις γὰρ ὡς ἐπὶ τὸ πλεῖστον ὁ τῶν τοιούτων βίος· καὶ ἡ τοῦ βίου δὲ καταστροφὴ τοῖς κατ' αὐτὰ πράττουσιν ἀκόλουθος τούτοις. διὸ καὶ ἐπιλέγειν εἰώθασιν τοῖς τοιούτοις, ὅταν ἐν ταῖς ἀκολουθίαις τε τοῦ βίου καὶ καθ' εἱμαρμένης περιστάσεσιν ὦσιν, ὡς ἑαυτοῖς γεγόνασιν αἴτιοι τῶν παρόντων αὐτοῖς κακῶν. καὶ τοῦτο ἄν τις παρίστασθαι βουλόμενος, τοῖς τὰς μαντείας ἐπαγγελλομένοις, τοῦ μὴ πάντα αὐτοὺς ἐπιτυγχάνειν, φέροι τὸ αἴτιον, μὴ πάντα τὴν φύσιν ἑκάστου καὶ τὴν εἱμαρμένην εὐοδεῖν, ἀλλὰ γίνεσθαί τινα καὶ παρ' αὐτήν: εἶναι γὰρ τοὺς μάντεις μηνυτὰς τῶν γινομένων καθ' εἱμαρμένην: ὥσπερ οὖν καὶ τοὺς φυσιογνώμονας. εἰπόντος γοῦν Ζωπύρου τοῦ φυσιογνώμονος περὶ Σωκράτους τοῦ φιλοσόφου ἄτοπά τινα καὶ πλεῖστον ἀφεστῶτα τῆς προαιρέσεως

αὐτοῦ

αὐτοῦ τῆς κατὰ τὸν βίον, καὶ ἐπὶ τούτοις ὑπὸ τῶν περὶ τὸν Σωκράτη καταγελωμένου, οὐδὲν εἶπε ὁ Σωκράτης ἐψεῦσθαι τὸν Ζώπυρον. ἦν γὰρ ἂν τοιοῦτος, ὅσον ἐπὶ τῇ φύσει, εἰ μὴ διὰ τὴν ἐκ φιλοσοφίας ἄσκησιν ἀμείνων τῆς φύσεως ἐγεγόνει. καὶ αὕτη μὲν περὶ εἱμαρμένης, ὡς ἐν κεφαλαίῳ εἰπεῖν, ἡ κατὰ τοὺς ἀπὸ τοῦ περιπάτου δόξα.

Η δὲ κατασκευὴ τῶν εἰρημένων ἔσται φανερωτέρα, παρατιθέντων ἡμῶν ταῖς προηγουμέναις τῶν κειμένων ἀποδείξεσι τὰ ἑπόμενα ἄτοπα τοῖς πάντα καθ' εἱμαρμένην γίνεσθαι λέγουσιν. μιγνύντες γὰρ οὕτω τὸν λόγον, τῇ τῶν δοξῶν παραλλήλῳ θέσει, γνωριμώτερον τἀληθὲς ποιήσομεν: καὶ πρὸς τοῦτο οὐκ ἕξομεν ἀνάγκην μεμνῆσθαι τῶν αὐτῶν πολλάκις. εὐλόγως γὰρ ἄν τις ἀπορήσειε, πῶς φιλοσοφεῖν τινες λεγόμενοι, καὶ τὴν ἀλήθειαν τὴν ἐν τοῖς οὖσι μετέρχεσθαι, καὶ ταύτῃ τῶν ἄλλων ἀνθρώπων πλέον ἔχειν τοὺς φιλοσοφοῦντας ὑπολαμβάνοντες, καὶ διὰ τοῦτο καὶ τοὺς ἄλλους ἐπὶ τοῦτο προτρέποντες, ἐπέδοσαν αὐτοὺς τῇ δόξῃ τῇ πάντα ἐξ ἀνάγκης τε καὶ καθ' εἱμαρμένην γίνεσθαι λεγούσῃ· ἐφ' ἣν μόνους ὁρῶμεν καταφεύγοντας τοὺς ἰδιώτας, τοὺς οὐδὲν αὐτοῖς συνειδότας δεξιὸν, ἐπὶ τὴν εἱμαρμένην ἀφ' αὐτῶν τὴν αἰτίαν τῶν περιεστώτων αὐτοὺς κακῶν μεταφέροντας, δόξῃ, οὔτε τοῖς ἐναργέσι συνᾳδούσῃ, οὔτε τινὰς πιστὰς ἀποδείξεις τοῦ οὕτως ἔχειν ἐχούσῃ, προσέτι τε ἀναιρούσῃ τὸ εἶναί τι ἐφ' ἡμῖν: οὗ πιστευθέντος, τίς ἂν ἄλλη μείζων ἐκ λόγων γένοιτο ζημία; ὅτι μὲν γὰρ παρὰ τὰ ἐναργῆ δῆλον, ἐκ τοῦ πεπιστεῦσθαι σχεδὸν ὑπὸ πάντων ἰδιωτῶν τε καὶ φιλοσόφων, τὸ γίνεσθαί τινα καὶ αὐτομάτως καὶ ἀπὸ

τύχης: εἶναι δέ τινα τῶν γινομένων καὶ ἐνδεχομένως γινόμενα, καὶ ἔχειν τινὰ χώραν ἐν τοῖς οὖσι, ὡς τὸ μηδὲν μᾶλλον τόδε ἢ τόδε. τούτων δὲ μηδὲν σώζεσθαι, κατὰ τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας. εἴ γε σώζειν μὲν αὐτά ἐστι, τὸ ἐφ᾽ οἷς σημαινομένοις τὰ ὀνόματα ταῦτα κεῖσθαι πεπίστευται, ταῦτα μὴ κινεῖν. οὐ γὰρ τὸ ἄλλα τινὰ ὑποβάλλοντα σημαινόμενα τοῖς ὀνόμασι, διὰ τοῦ μένειν ἐκεῖνα, μένειν ἡγεῖσθαι καὶ τὰ προειρημένα, σωζόντων ἐστὶ τὰ κείμενα. οὐ γὰρ σώζεται, τὸ γίνεσθαί τινα ἀπὸ τύχης, ἂν ἀνελών τις τὴν τῶν οὕτως γινομένων φύσιν, ὄνομα θῆται τοῖς γινομένοις ἐξ ἀνάγκης τὴν τύχην. ἀλλ᾽ αὐτὰ δεῖξαι δυνάμενα σώζεσθαι, ἐφ᾽ ὧν τὸ τῆς τύχης ὄνομα κατηγορεῖσθαι πεπίστευται. λέγεται δὴ πρὸς ἁπάντων ἀνθρώπων κοιναῖς τε καὶ φυσικαῖς ἐννοίαις ἐμμενόντων, ταῦτα ἀπὸ τύχης τε καὶ τοῦ αὐτομάτου γίνεσθαι, ἃ αἰτίαις ἄλλων τινῶν ποιητικαῖς προηγουμένως ἐπιγίνεται. ὅταν γὰρ ἄλλου τινὸς χάριν γινομένῳ τινὶ μὴ τοῦτο ἀπαντήσῃ, οὗ χάριν ἐγίνετο, ἄλλο δὲ, ὃ τὴν ἀρχὴν μηδὲ ἠλπίζετο, τοῦτο ἀπὸ τύχης λέγεται γεγονέναι, καθ᾽ αὑτὸ μὲν γεγονὸς ἀναιτίως, κατὰ συμβεβηκὸς δ᾽ ἐσχηκὸς αἴτιον τὸ γινόμενον ἐπ᾽ ἄλλου γενέσει τινός. καὶ ὅτι τοιοῦτόν τι λέγουσι πάντες τὸ γινόμενον ἀπὸ τύχης, δῆλον ἐξ ὧν ὑποβάλλουσι σημαινομένου οἷς ἀπὸ τύχης φασὶ γίνεσθαι. θησαυρόν τε γάρ φασιν ἀπὸ τύχης εὑρηκέναι τινὰς, κἂν ἄλλου χάριν ὀρύσσων τίς τινος, ἀλλ᾽ οὐ τοῦ θησαυρὸν εὑρεῖν θησαυρῷ περιπέσῃ. ὁ μὲν γὰρ τούτου χάριν ὀρύσσων, οὐκ ἀπὸ τύχης. οὗ γὰρ χάριν ὤρυσσεν, τοῦτο ἀπήντησεν αὐτῷ·

τῷ· ὧ

τῷ· ᾧ δὲ μηδὲν τῆς εὑρέσεως τοῦ θησαυροῦ ἔμελε, ποιοῦντι δὲ ἄλλου τινὸς χάριν ἡ εὕρεσις ἀπήντησεν, ὡς τέλος ἐκείνου, τοῦτον ἀπὸ τύχης τὸν θησαυρὸν εὑρηκέναι πάντες λέγουσιν. ἀλλὰ καὶ τὸ ἀργύριον ἀπὸ τύχης κεκομίσθαι τινὰ λέγουσιν, ὅταν εἰς τὴν ἀγορὰν προελθὼν ἄλλου τινὸς χάριν ἀργύριον ἔχοντι περιπεσὼν τῷ χρεώστῃ, τὸ ὀφειλόμενον αὐτῷ λάβῃ. τῷ γὰρ προελθεῖν εἰς τὴν ἀγορὰν ἄλλο τι προηγούμενον τέλος ἔχοντι, τὸ προσοφειλόμενον λαβεῖν ἀπήντησεν, ὡς τέλος κατὰ συμβεβηκὸς αὐτῷ γινόμενον, τὸ μὲν ποιητικὸν αἴτιον, τὸ δὲ τούτου τέλος. οὐ γὰρ ἀπὸ τύχης ἔτι λέγεταί τις τὸ ὀφειλόμενον εἰληφέναι, εἰ τούτου χάριν εἰς τὴν ἀγορὰν προῆλθεν, ὅτι τὸ προκείμενον αὐτῷ τέλος ἡ πρόοδος εἶχεν. καὶ ὁ ἵππος δὲ αὐτομάτως τισὶ λέγεται σεσῶσθαι, ὅταν τροφῆς ἐλπίδι ἢ ἄλλου τινὸς χάριν ἀποφύγῃ τοὺς κατέχοντας αὐτόν, ἀπαντήσῃ δὲ αὐτῷ τῇ φυγῇ καὶ τῷ δρόμῳ τὸ τοῖς δεσπόταις περιπεσεῖν. καὶ τί δεῖ ὑμῖν πλείω παραδείγματα κατατίθεσθαι, ἢ ἀκριβολογεῖσθαι περὶ τῶν προειρημένων; ἱκανὸν γάρ, ὡς πρὸς τὰ προκείμενα, τὸ δεῖξαι ἐφ' ὧν σημαινομένων τὰ ὀνόματα κατηγορεῖται τὰ εἰρημένα.

Ὄντων δὴ τῶν ἀπὸ τύχης τε καὶ αὐτομάτως γινομένων τοιούτων, ὡς μὴ γίνεσθαι κατὰ προηγουμένην αἰτίαν, (τῶν γὰρ σπανίως ἐπὶ τοῖς πρὸ αὐτῶν γεγονόσιν ἀπαντώντων, τό, γε αὐτόματον καὶ ἡ τύχη,) πῶς ἂν σώζοιτό τι τῶν προειρημένων; καθ' οὓς πάντα προηγησαμένοις τισὶν αἰτίοις καὶ προηγουμένοις ἐξ ἀνάγκης ἐστί τε τὰ ὄντα καὶ τὰ γινόμενα γίνεται.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0025-1

νεται, ἑκάστου τῶν γινομένων αἴτιόν τι προκαταβεβλημένον ἔχοντος· οὗ ὄντος ἢ γεγονότος, ἀνάγκη καὶ αὐτὸ ἢ εἶναι ἢ γίνεσθαι, τοὺς μηδὲν μὲν σώζοντας τῶν προειρημένων, καθ' ἄλλου δέ τινος τὸ τῆς τύχης νομοθετήσαντας ὄνομα. τῷ γὰρ μὴ ἀναιρεῖσθαι ἐκεῖνο ὑπὸ τοῦ πάντα ἐξ ἀνάγκης γίνεσθαι τιθεμένου, μηδὲ τὴν τύχην ἀναιρεῖσθαι λέγειν, σοφιζομένων ἐστὶν ὁμοίως αὐτούς τε καὶ τοὺς ἀκούοντας αὐτῶν. οὕτω μὲν γὰρ οὐδὲν κωλύσαντες λέγειν ταὐτὸν εἱμαρμένην τε εἶναι καὶ τύχην· καὶ τοσοῦτον ἀποδεῖν τοῦ τὴν τύχην ἀναιρεῖν, ὡς καὶ πάντα τὰ γινόμενα γίνεσθαι λέγειν ἀπὸ τύχης, ἀλλὰ οὐκ ἐπὶ τῷ τοὔνομα σώζειν τὸ τῆς τύχης εἶχον τὴν αἰτίαν· ἀλλ' ἐπὶ τῷ ἀναιρεῖν, τὸ οὕτω γίνεσθαί τινα, ὧν τὸ ἀπὸ τύχης τε καὶ αὐτόματον γίνεσθαι κατηγορεῖται· τί γὰρ ἄλλο ποιοῦσιν οἱ τὴν τύχην καὶ τὸ αὐτόματον ὁριζόμενοι, αἰτίαν ἄδηλον ἀνθρωπίνῳ λογισμῷ, ἢ τύχης τι σημαινόμενον ἴδιον εἰσάγουσί τε καὶ νομοθετοῦσι; τὸ γὰρ εἰς τὴν τούτου σύστασιν χρήσασθαι τῷ λέγειν τινὰς αὐτομάτως νοσεῖν, ὅταν ἄδηλος ᾖ αὐτοῖς ἡ αἰτία τῆς νόσου, ψεῦδος. οὐ γὰρ ὡς οὔσης μὲν τινὸς αἰτίας, ἀδήλου δὲ αὐτοῖς, οὕτω λέγουσιν, ἀλλ' ἐφ' ὧν ἀναιτίως γεγονέναι πείθουσιν αὐτοὺς, ἐπὶ τούτων τὸ αὐτόματον κατηγοροῦσιν. οὐ δεῖ γὰρ ἐφ' οὗ ζητοῦσι τὴν αἰτίαν, ὡς οὔσης, αὐτομάτως αὐτὸ γεγονέναι λέγειν· ἀλλ' ὃ πέπεισταί τις αὐτομάτως γεγονέναι, τούτου μὴ ζητεῖν τὴν αἰτίαν. διὸ οὐκ ἔτι οἱ ἰατροὶ περὶ τούτων οὕτω λέγουσι, κἂν τυγχάνωσιν αὐτῶν ἔτι τὰς αἰτίας ἀγνοοῦντες·

οὐ γὰρ

οὐ γὰρ ἐφ' ὧν προειρήκαμεν, ὡς ἐπὶ πάντων ἀπὸ τύχης γίνεσθαι λεγομένων, ἀλλ' ἐπ' ἄλλων τινῶν κυριώτερος ὁ τοιοῦτος λόγος τῆς τύχης ἂν κατηγοροῖτο, περὶ ὧν οὐδεὶς ὡς ἀπὸ τύχης γινομένων εἶπέν ποτε. τῆς γὰρ εὑρέσεως τοῦ θησαυροῦ, καὶ τοῦ τὸ ὀφειλόμενον λαβεῖν, οὐκ ἄδηλα ἀνθρωπίνῳ λογισμῷ τὰ αἴτια, ἀλλὰ φανερὰ καὶ πρόδηλα. τῆς μὲν γὰρ εὑρέσεως τὸ ὀρύξαι, τοῦ δὲ τὸ ὀφειλόμενον λαβεῖν, τὸ εἰς τὴν ἀγορὰν προελθεῖν. οὔτε γὰρ ἂν ἐκεῖνος μὴ ὀρύσσων εὗρεν, οὔτε οὗτος μὴ προελθὼν τὸ ὀφειλόμενον ἔλαβεν. ἀλλ' ὅτι μὴ προηγουμένως τούτων αἴτια τὰ προειρημένα· ἀλλὰ ἄλλου τινὸς χάριν ἐγίνετο, διὰ τοῦτο ἀπὸ τύχης γίνεσθαι προείληπται. ἄδηλα δὲ τὰ αἴτια ἀνθρωπίνῳ λογισμῷ ἐκεῖνα μᾶλλον, ἃ κατά τινας ἀντιπαθείας γίνεσθαι πεπίστευται, ἀγνοουμένης τῆς αἰτίας, δι' ἣν γίνεται· οἷα περίαπτά τέ τινα προσείληπται οὐδεμίαν εὔλογον καὶ πιθανὴν αἰτίαν τοῦ ταῦτα ποιεῖν ἔχοντα. ἔτι τε ἐπαοιδαί, καὶ τινὲς τοιαῦται μαγγανεῖαι. τούτων γὰρ ὁμολογεῖται μὲν ὑπὸ πάντων ἄδηλος εἶναι ἡ αἰτία. διὸ καὶ ἀναιτιολόγητα λέγουσιν αὐτά. οὐδεὶς δὲ τούτων τι ἀπὸ τύχης ποιεῖν λέγει, ὅτι πεπίστευται κατά τινα ὡρισμένην αἰτίαν ποιεῖν, ἃ ποιεῖ, ὡς τῶν ἀπὸ τύχης οὐ διὰ τὸ τῆς αἰτίας ἄδηλον οὕτω γίνεσθαι λεγομένων, ἀλλὰ διὰ τὸ ἀναίτιον τῆς προηγουμένης τε καὶ κυρίως αἰτίας· καὶ τοιαῦτα μὲν τὰ περὶ τῆς τύχης ὑπ' αὐτῶν λεγόμενα, καὶ οὕτω τοῖς κειμένοις συνᾴδοντα.

Οτι δὲ

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0027-2

Ὅτι δὲ καὶ τὸ ἐνδεχόμενον, καὶ τὸ ὁπότερ' ἔτυχεν γίνεσθαί τινα, ὑπὸ τῶν πάντα ἐξ ἀνάγκης γίνεσθαι λεγόντων ἀναιρεῖται, αὐτόθεν πρόδηλον. εἴγε ταῦτα μὲν κυρίως ἐνδεχομένως γίνεσθαι λέγεται, ἐφ' ὧν καὶ τὸ ἐνδέχεσθαι μὴ γίνεσθαι χώραν ἔχει, ὡς καὶ αὐτὸ τὸ ὁπότερ' ἔτυχεν λεγόμενον ποιεῖ γνώριμον, τὰ δὲ ἐξ ἀνάγκης γινόμενα, οὐκ ἐνδέχεται μὴ γενέσθαι. λέγω δὲ τὸ ἀναγκαῖον οὐκ ἐπὶ τοῦ βίᾳ γινομένου, μηδὲ κατὰ τοῦτο τις εὐθυνέτω τοὔνομα, ἀλλ' ἐπὶ τοῦ φύσει γινομένου ὑπὸ τινῶν, ὧν τὰ ἀντικείμενα ἀδύνατον εἴη μὴ γενέσθαι. καίτοι πῶς οὐκ ἄτοπα καὶ παρὰ τὰ ἐναργῆ, καὶ μέχρι τούτων τὴν ἀνάγκην προεληλυθέναι λέγειν, ὡς μήτε κινηθῆναί τινα δύνασθαι κίνησίν τινα, μήτε κινῆσαι τι τῶν αὐτοῦ μελῶν, ἣν κίνησιν καὶ μὴ κινεῖσθαί ποτε οἷόν τε ἦν, ἀλλὰ τὴν τυχοῦσαν τοῦ τραχήλου περιστροφήν, καὶ τὴν δακτύλου τινὸς ἔκτασιν, καὶ τὸ ἐπᾶραι τὰ βλέφαρα, ἤ τι τῶν τοιούτων προηγουμέναις τισὶν αἰτίαις ἕπεσθαι, ἀλλ' ὡς ὑφ' ἡμῶν μὴ δύνασθαι γίνεσθαί ποτε, καὶ ταῦτα ὁρῶντας ἐν τοῖς οὖσί τε καὶ γινομένοις πολλὴν οὖσαν διαφορὰν τῶν πραγμάτων, ἐξ ἧς ῥάδιον ἦν μαθεῖν, ὅτι μὴ πάντα ἐνδέδοται ταῖς τοιαύταις αἰτίαις; ὁρῶμεν γοῦν τῶν ὄντων τὰ μέν τινα οὐδεμίαν ἔχοντα δύναμιν τῆς εἰς τὸ ἀντικείμενον τοῦ ἐν ᾧ ἐστι μεταβολῆς, τὰ δὲ οὐδὲν μᾶλλον αὐτῶν ἐν τῷ ἀντικειμένῳ ἢ ἐν ᾧ ἐστι εἶναι δυνάμενα. πῦρ μὲν γὰρ οὐχ οἷόν τε δέξασθαι ψυχρότητα, ἥτις ἐστὶν ἐναντία αὐτοῦ τῆς συμφύτου θερμότητος· ἀλλ' οὐδὲ χιὼν δέξαιτ' ἂν θερμότητα χιὼν μένουσα· ὕδωρ δὲ κἂν ᾖ ψυχρόν, οὐκ ἀδύνατον

ἀποβάλ-

ἀποβάλλον ταύτην δέξασθαι τὴν ἐναντίαν αὐτῇ θερμότητα. ὁμοίως δὲ καὶ τούτῳ, δυνατὸν, καὶ τὸν καθεζόμενον στῆναι, καὶ τὸν κινούμενον ἠρεμῆσαι, καὶ τὸν λαλοῦντα σιγῆσαι, καὶ ἐπὶ μυρίων εὕροι τις ἂν δύναμιν τινὰ ἐνυπάρχουσαν τῶν ἐναντίων δεκτικήν· ὧν εἰ τὰ ἐξ ἀνάγκης ὄντα ἐν θατέρῳ οὐκ ἔχει δύναμιν τοῦ δέξασθαι τοῦ ἐν ᾧ ἐστι τὸ ἐναντίον, οὐκ ἐξ ἀνάγκης ἂν εἴη ἐν οἷς ἐστιν τὰ καὶ τοῦ ἐναντίου αὐτοῖς δεκτικά. εἰ δὲ μὴ ἐξ ἀνάγκης, ἐνδεχομένως. τὸ γὰρ ἐνδεχομένως ὄν τινι, οὕτως ἐστὶν ἐν αὐτῷ, ὡς οὐκ ἐξ ἀνάγκης, ἀλλ' ὡς ἐνδεχομένως ἐν αὐτῷ γεγονότα· τὸ δὲ ἐνδεχομένως γεγονὸς ὄν τινι, καὶ μὴ γεγονέναι ἐν αὐτῷ οἷόν τε ἦν. ἔστι μὲν γὰρ ἕκαστον καὶ τούτων ἐν ᾧ ὂν τυγχάνει. διότι ἦν ἐνδεχόμενον ἐν θατέρῳ αὐτῶν καὶ τῶν ἀντικειμένων εἶναι. ἐν ᾧ δέ ἐστι νῦν οὐκ ἐξ ἀνάγκης, ἁπλῶς ἐστιν ἐν τούτῳ διὰ τὴν πρὸς ἀντικείμενα δύναμιν. ἀλλὰ μὴν τὰ οὕτως ὄντα ἐν τισὶν οὐ δι' αἰτίας τινὰς προκαταβεβλημένας ἐξ ἀνάγκης εἰς ταῦτα ἀγούσας ἐν αὐτοῖς ἐνδεχόμενόν ἐστιν. ὥστ' εἰ πάντα τὰ ὁμοίως τοῖς ἀντικειμένοις ὧν δεκτικὰ ἐνδεχομένως τέ ἐστιν ἐν οἷς ἐστι, καὶ οὐκ ἔστιν ἐν οἷς οὐκ ἔστι, μυρία ἂν εἴη τὰ ἐνδεχομένως ὄντα τε καὶ γινόμενα· ἄτοπον γὰρ ὁμοίως ἐξ ἀνάγκης εἶναι λέγειν ἔν τινι τά τε ἀνεπίδεκτα τῶν ἐναντίων τούτοις ἐν οἷς ἐστι, καὶ τὰ μηδὲν μᾶλλον καθ' ὁντιναοῦν χρόνον τούτων ἢ τῶν ἐναντίων αὐτοῖς δεκτικὰ μὴ τοῦ ἐναντίου, οὐκ ἐξ ἀνάγκης ἂν ἐν ᾧ ἐστιν εἴη. τὸ γὰρ λέγειν, εἰ γὰρ τὰ ἐξ ἀνάγκης ὄντα ἔν τινι ἀνεπίδεκτα τοῦ ἐναντίου αὐτῷ, τὰ ἐπιδεκτικὰ ἀναιρεῖσθαι πάντων γινομένων καθ'

εἱμαρμένην τὸ δυνατόν τε καὶ ἐνδεχόμενον, τῷ δυνατὸν μὲν εἶναι γενέσθαι τοῦτο, ὃ ὑπ' οὐδενὸς κωλύεται γενέσθαι, ἂν μὴ γένηται. τῶν καθ' εἱμαρμένην γινομένων οὐ κεκώλυται τὰ ἀντικείμενα γενέσθαι. διὸ καίτοι μὴ γινόμενα ὅμως ἐστὶ δυνατά, καὶ τοῦ μὴ κεκωλῦσθαι γενέσθαι αὐτά· ἀπόδειξιν φέρειν, τὸ ἡμῖν τὰ κωλύοντα αὐτὰ ἄγνωστα εἶναι, πάντως μέν τινα ὄντα. ἃ γάρ ἐστιν αἴτια τοῦ γίνεσθαι τὰ ἀντικείμενα αὐτοῖς καθ' εἱμαρμένην, ταῦτα καὶ τοῦ μὴ γενέσθαι τούτοις αἴτια: εἴγε ὥς φασιν ἀδύνατον τῶν αὐτῶν περιεστώτων γίνεσθαι τὰ ἀντικείμενα. ἀλλ' ὅτι μὴ ἡμῖν ἐστι γνώριμα, τίνα ἐστί, διὰ τοῦτο ἀκώλυτον αὐτῶν τὸ μὴ γενέσθαι λέγουσιν; τὸ δὴ ταῦτα λέγειν πῶς οὐ παιζόντων ἐστὶν, ἐν οὐ παιδιᾶς λόγοις δεομένοις; τὸ γὰρ ἡμᾶς ἀγνοεῖν οὐδὲν πρὸς τὸ εἶναι ἢ μὴ εἶναι τὰ πράγματα. δῆλοι γάρ εἰσι οἱ λέγοντες οὕτω, ὡς τῇ ἡμετέρᾳ γνώσει τὸ δυνατὸν ἔσται κατ' αὐτούς. τοῖς γὰρ γνωρίζειν αὐτῶν τὰ αἴτια δυναμένοις (οὗτοι δ' ἂν εἶεν οἱ μάντεις) οὐκ ἔσται δυνατὰ ὄντα. δυνατοῖς εἰσι μὲν αὐτὰ κεκωλυκέναι, ἀγνοοῦσι δὲ ὑφ' ἡμῶν κωλύοντες. σώζοντες δὲ τὴν τοῦ δυνατοῦ φύσιν οὕτως ὡς εἰρήκαμεν, διὰ τοῦτό φασι μηδὲ τὰ γινόμενα καθ' εἱμαρμένην, καίτοι ἀπαραβάτως γινόμενα, ἐξ ἀνάγκης γίνεσθαι, ὅτι ἐστὶν αὐτοῖς δυνατὸν γενέσθαι καὶ τὸ ἀντικείμενον δυνατοῦ οὕτως, ὡς προείρηται. ἀλλὰ ταῦτα μὲν παιζόντων ὥσπερ εἶπον ἐστίν, ἀλλ' οὐ παριςαμένων δόγματι. ὅμοιον δὲ τούτῳ καὶ τὸ λέγειν καὶ τὸ ἀξίωμα, τὸ, ἔσται αὔριον ναυμαχία, ἀληθὲς μὲν εἶναι δύνασθαι, οὐ μέντοι καὶ ἀναγκαῖον. ἀναγκαῖον μὲν γὰρ τὸ

ἀεὶ

ἀεὶ ἀληθές. τοῦτο δὲ οὐκ ἔτ' ἀληθὲς μέν, ἐπειδὰν δὲ ἡ ναυμαχία γένηται, ἀληθές. εἰ δὲ μὴ τοῦτο ἀναγκαῖον, οὐδὲ τὸ ὑπ' αὐτοῦ σημαινόμενον, τὸ ἐξ ἀνάγκης ἔσεσθαι ναυμαχίαν. εἰ δὲ ἔσται μὲν οὐκ ἐξ ἀνάγκης ἀληθές, ἀληθοῦς ὄντος τοῦ ἔσεσθαι ναυμαχίαν: οὐκ ἐξ ἀνάγκης δέ, ἐνδεχομένως δηλονότι. εἰ δὲ ἐνδεχομένως, οὐκ ἀναιρεῖται τὸ ἐνδεχόμενον, ὥς τινα γενέσθαι ὑπὸ τοῦ πάντα γίνεσθαι καθ' εἱμαρμένην. πάλιν γὰρ καὶ τοῦτο ὁμοῦ παιζόντων ἐστί, ὁμοῦ δὲ ἀγνοούντων, περὶ ὧν λέγουσιν. οὔτε γὰρ πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον ἀναγκαῖον· εἴ γε τὸ μὲν ἀναγκαῖον ἀΐδιον, τὸ δὲ ἐξ ἀνάγκης γινόμενον ὑπ' αὐτοῦ τοῦ γίνεσθαι τοιοῦτον εἶναι κεκώλυται. οὔτε τὸ ἀξίωμα, τὸ τοῦτο λέγον, ἀναγκαῖον, εἴγε τὸ ὑπ' αὐτοῦ σημαινόμενον τοιοῦτον. οὐ γὰρ πᾶν ἀξίωμα, ἐν ᾧ τὸ ἀναγκαῖον περιέχεται, ἀναγκαῖον ἤδη. οὐ γὰρ ταύτῃ τὸ ἀξίωμα κρίνεται, ἀλλὰ τῷ μὴ μεταπίπτειν δύνασθαι εἰς ψεῦδος ἐξ ἀληθοῦς. εἰ τοίνυν μὴ ἀναγκαῖον, οὐδὲν κεκώλυται ἀληθὲς εἶναι, ὡς τὸ ἔσται αὔριον ναυμαχία. εἰ γὰρ ὡς ἀναγκαῖον γινόμενον διὰ τὴν τοῦ ἀναγκαίου προσθήκην οὐκ ἀληθές, εἰ μὴ γένοιτο ἀναγκαῖον τῇ τοῦ ἐξ ἀνάγκης προσθέσει, ἀληθὲς ἂν μένοι, ὁμοίως τῷ χωρὶς τῆσδε τῆς προσθήκης λεγομένῳ. ἀλλ' εἰ τοῦτο ἀληθές, ἀληθὲς ἔσται ἐνστάσει τῆς αὔριον, ἀξιώματι ἐξ ἀνάγκης γεγονέναι ναυμαχίαν. εἰ δὲ ἐξ ἀνάγκης, οὐκ ἐνδεχομένως. καὶ γὰρ εἰ ἀληθές ἐστι, τὸ αὔριον ἔσται ναυμαχία, ἀεὶ γενέσθαι ναυμαχίαν, καθ' εἱμαρμένην ἔσται, εἴ γε πάντα τὰ γινόμενα καθ' εἱμαρ-

μένην: ἀλλ' εἰ καθ' εἱμαρμένην, ἀπαραβάτως· εἰ δὲ ἀπαραβάτως, οὐκ ἐνδέχεται μὴ γενέσθαι· ὃ γὰρ οὐκ ἐνδέχεται μὴ γενέσθαι, τοῦτο ἀδύνατον μὴ γενέσθαι. ὃ δὲ ἀδύνατον μὴ γενέσθαι, πῶς οἷόν τε τοῦτο λέγειν ἐνδέχεσθαι καὶ μὴ γενέσθαι; τὸ γὰρ ἀδύνατον μὴ γενέσθαι, ἀναγκαῖον γενέσθαι. πάντα ἄρα τὰ καθ' εἱμαρμένην γινόμενα ἐξ ἀνάγκης ἔσται κατ' αὐτοὺς· ἀλλ' οὐχὶ καὶ ἐνδεχομένως, ὡς παίζοντες λέγουσι.

Ἀκολουθεῖ δὲ τῷ πάντα τὰ γινόμενα προκαταβεβλημέναις καὶ ὡρισμέναις, καὶ προϋπαρχούσαις τισὶν αἰτίαις ἕπεσθαι, τὸ καὶ βουλεύεσθαι τοὺς ἀνθρώπους μάτην περὶ τῶν πρακτέων αὐτοῖς· εἰ δὲ τὸ βουλεύεσθαι μάτην, μάτην ἂν ἄνθρωπος εἴη βουλευτικός, καί τοι εἰ μηδὲν μάτην ἡ φύσις ποιεῖ τῶν προηγουμένων· τὸ δὲ βουλευτικὸν εἶναι ζῶον τὸν ἄνθρωπον, προηγουμένως ὑπὸ τῆς φύσεως, ἀλλ' οὐ καθ' ἐπακολούθημά τι καὶ σύμπτωμα τοῖς προηγουμένως γινομένοις γίνοιτο. συνάγοιτο ἂν τὸ μὴ εἶναι μάτην τοὺς ἀνθρώπους βουλευτικούς. Ὅτι γὰρ τὸ βουλεύεσθαι μάτην, πάντων γινομένων ἐξ ἀνάγκης, ῥάδιον γνῶναι, τὴν τοῦ βουλεύεσθαι χρείαν εἰδόσιν. ὁμολογεῖται δὲ πρὸς ἁπάντων, τὸ τῶν ἄλλων ζώων τὸν ἄνθρωπον τοῦτο παρὰ τῆς φύσεως ἔχειν πλέον, τὸ μὴ ὁμοίως ἐκείνοις ταῖς φαντασίαις ἕπεσθαι, ἀλλ' ἔχειν παρὰ αὐτῆς κριτὴν προσπιπτουσῶν φαντασιῶν περί τινων ὡς αἱρετῶν, τὸν λόγον, ᾧ χρώμενος, εἰ μὲν ἐξεταζόμενα τὰ φαντασθέντα οἷα τὴν ἀρχὴν ἐφάνη, καὶ ἔστι, συγκατατίθεταί τε τῇ φαντασίᾳ, καὶ οὕτω μέτεισιν αὐτά. εἰ δὲ ἀλλοῖα φαίνεται, ἢ ἄλλο τι αὖ αἱρετώτερον, ἐκεῖνο αἱρεῖται, καταλείπων τὸ τὴν

ἀρχὴν

ἀρχὴν ὡς αἱρετὸν αὐτῷ φανέν. πολλὰ γοῦν τῶν πρώτως φαντασίαις ἡμῖν ἀλλοῖα δόξαντα, οὐκέτ' ἔμεινεν ἐπὶ τῆς προλήψεως, ἐλέγξαντος αὐτὰ τοῦ λόγου. διὸ πραχθέντα ἂν ὅσον ἐπὶ τῇ αὐτῶν γινομένῃ φαντασίᾳ, γινομένη διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν, οὐκ ἐπράχθη, ἡμῶν τοῦ τε βουλεύσασθαι καὶ τῆς αἱρέσεως τῶν ἐκ τῆς βουλῆς, ὄντων κυρίων. διὰ τοῦτο γοῦν, οὔτε περὶ τῶν ἀϊδίων βουλευόμεθα, οὔτε περὶ τῶν ὁμολογουμένως γινομένων ἐξ ἀνάγκης, ὅτι μηδὲν ἡμῖν ἐκ τοῦ περὶ αὐτῶν βουλεύεσθαι περιγίνεται πλέον· ἀλλ' οὐδὲ περὶ τῶν ἐξ ἀνάγκης μὲν μὴ γινομένων, ἐπ' ἄλλοις δέ τισιν ὄντων, βουλευόμεθα, ὅτι μηδὲ ἀπὸ τῆς περὶ ἐκείνων βουλῆς ὄφελός τι ἡμῖν· ἀλλ' οὐδὲ περὶ τῶν ἡμῖν μὲν πρακτῶν, παρεληλυθότων δὲ βουλευόμεθα, ὅτι μηδὲ τῇ περὶ τούτων βουλῇ δέον τι ἡμῖν γίνεται· βουλευόμεθα δὲ, περὶ μόνων τῶν ὑφ' ἡμῶν τε πραττομένων, καὶ μελλόντων, δῆλον ὡς ἕξοντές τι διὰ τούτου πλέον, εἰς τὴν αἵρεσίν τε καὶ πρᾶξιν αὐτῶν. εἰ γὰρ ἐν οἷς οὐδὲν ἡμῖν πλέον ἐκ τοῦ βουλεύεσθαι αὐτοῦ μόνου περιγίνεται, οὐ βουλευόμεθα, δῆλον, ὡς ἐν οἷς βουλευόμεθα περὶ αὐτῶν, ἐπ' αὐτὸ τὸ βουλεύσασθαι περιγίνεται, καὶ περὶ τῶν ἄλλων βουλευομένοις, περὶ ὧν προειρήκαμεν. τί ποτ' οὖν τὸ περιγινόμενον ἐκ τῆς βουλῆς; τὸ ἔχοντας ἡμᾶς ἐξουσίαν τῆς αἱρέσεως τῶν πρακτέων; ὃ οὐκ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι τῷ ἄλλό τι πρᾶξαι διὰ τὸ εἶξαι τῇ προπεσούσῃ φαντασίᾳ, τοῦτο αἱρετώτερον ὑπὸ λόγου φανὲν, αἱρεῖσθαί τε καὶ πράττειν πρὸ ἐκείνου, ὃ μὴ γίνοιτ' ἂν, εἰ πάντα πράττοιμεν κατηναγκασμένως. εἰ δὲ εἴη μὴ

πάντα ἃ πράττομεν πράττοντες διά τινας αἰτίας προκαταβεβλημένας, ὡς μηδεμίαν ἐξουσίαν ἔχειν τοῦ πρᾶξαι τόδε τι καὶ μή, ἀλλ' ἀφωρισμένως ἕκαστον πράττειν, ὧν πράττομεν, παραπλησίως τῷ θερμαίνοντι πυρὶ καὶ τῷ λίθῳ τῷ κάτω φερομένῳ, καὶ τῷ κατὰ τοῦ πρανοῦς κυλιομένῳ κυλίνδρῳ, τί πλέον ἡμῖν εἰς τὸ πράττειν ἐκ τοῦ βουλεύσασθαι περὶ τοῦ πραχθησομένου γίνεται; ὃ γὰρ ἂν ἐπράξαμεν μὴ βουλευσάμενοι, τοῦτο καὶ μετὰ τὸ βουλεύσασθαι πράττειν ἀνάγκη· ὥστ' οὐδὲν ἡμῖν πλέον, ἐκ τοῦ βουλεύσασθαι, αὐτοῦ τοῦ βουλεύσασθαι περιγίνεται: ἀλλὰ μὴν τοῦτο καὶ ἐπὶ τῶν ἐφ' ἡμῖν δυνάμενοι ποιεῖν, ὡς ἄχρηστον ὂν παραιτούμεθα. ἄχρηστον ἄρα τὸ βουλεύσασθαι, καὶ ἐφ' ὧν αὐτῷ ὥς τι χρήσιμον ἡμῖν παρεχόμενοι χρώμεθα, ὡς εἵπετο, τὸ μάτην ἡμῖν ὑπὸ τῆς φύσεως τοῦ βουλευτικοῖς εἶναι δεδόσθαι. ὡς προστεθέντος τοῦ αὐτοῖς γε τούτοις καὶ κοινῶς πᾶσι σχεδὸν τοῖς φιλοσοφοῦσι δοκοῦντος, τὸ μηδὲν ὑπὸ τῆς φύσεως γίνεσθαι μάτην, ἀνῃρεῖτο ἄν, ὡς εἵπετο, τὸ μάτην ἡμᾶς εἶναι βουλευτικούς· εἵπετο δὲ τοῦτο, τῷ τῶν πραττομένων ὑφ' ἡμῶν, μὴ ἔχειν ἡμᾶς τοιαύτην ἐξουσίαν, ὡς δύνασθαι τὰ ἀντικείμενα· ἀναιρουμένου δὲ, ὡς ἐδείχθη, τοῦ βουλεύσασθαι κατ' αὐτοὺς, ἀναιρεῖται καὶ τὸ ἐφ' ἡμῖν προδήλως. τοῦτο γὰρ ἐφ' ἡμῖν πάντες, ὅσοι μὴ θέσει τινὶ παρίστανται, παρειλήφασιν εἶναι, οὗ ἡμεῖς μὲν καὶ τοῦ πραχθῆναι καὶ τοῦ μὴ πραχθῆναι κύριοι, οὐχ ἑπόμενοί τισιν ἔξωθεν ἡμᾶς περιεστῶσιν αἰτίοις, οὐδὲ ἐνδιδόντες αὐτοὺς, ᾗ ἐκεῖνα ἄγει. καὶ ἡ προαίρεσις τὸ ἴδιον ἔργον τῶν ἀνθρώπων, περὶ ταὐτό. ἡ γὰρ ἐπὶ τὸ προκριθὲν ἐκ

θὲν ἐκ

θὲν ἐκ τῆς βουλῆς μετ' ὀρέξεως ὁρμὴ, προαίρεσις. διὸ οὐδὲ ἐπὶ τοῖς ἀναγκαίως γινομένοις ἡ προαίρεσις· οὔτε ἐπὶ τοῖς μὴ ἀναγκαίως μὲν ἡμῖν δι' ἡμῶν, ἀλλ' οὐδὲ ἐν πᾶσι τοῖς δι' ἡμῶν, ἀλλ' ἐν τούτοις τοῖς γινομένοις δι' ἡμῶν, ὧν ἡμεῖς τοῦ πρᾶξαι καὶ τοῦ μὴ πρᾶξαι κύριοι. ὁ γὰρ βουλευόμενος περί τινος, ἤτοι περὶ τοῦ δεῖν αὐτὸ πράττειν, ἢ μὴ πράττειν βουλεύεται, ἢ σπουδάζων ὡς περὶ ἀγαθόν τι, ζητεῖ δι' ὧν ἂν τούτου τύχοι. κἂν μὲν ἀδυνάτῳ τινὶ ζητῶν ἐντύχοι, τοῦ μὲν ἀφίσταται· ἀφίσταται δὲ ὁμοίως καὶ τῶν δυνατῶν μὲν, οὐκ ὄντων δὲ ἐπ' αὐτῷ. εἰ δὲ ἐν τῇ περὶ τοῦ προκειμένου ζητήσει, ἕως ἂν ἐντύχῃ τινὶ, οὗ τὴν ἐξουσίαν αὐτὸς ἔχειν πεπίστευται, μεθ' ὃ παυσάμενος τοῦ βουλεύεσθαι, ὡς ἀναγαγὼν τὴν ζήτησιν ἐφ' αὑτὸ, ὅ ἐστιν ἀρχὴ τῶν πράξεων, ἄρχεται τῆς πρὸς τὸ προκείμενον πράξεως· γίνεται δὲ καὶ ἡ ζήτησις αὐτῷ, ὡς ἐξουσίαν ἔχοντι τοῦ πράττειν καὶ τὰ ἀντικείμενα. καθ' ἕκαστον γὰρ τῶν ὑπὸ τὴν βουλὴν ἡ ζήτησις βουλευομένῳ γίνεται, πότερον τοῦτο, ἢ τὸ ἀντικείμενον αὐτῷ πρακτέον μοί; κἂν πάντα λέγῃ γίνεσθαι καθ' εἱμαρμένην. ἐλέγχει γὰρ ἡ ἐν τοῖς πρακτοῖς ἀλήθεια τὰς περὶ αὐτῶν ἡμαρτημένας δόξας. τὴν πλάνην κοινῶς πάντας ἀνθρώπους ὑπὸ τῆς φύσεως πεπλανῆσθαι, πῶς οὐκ ἄτοπον λέγειν; ὅτι γὰρ ταύτην ἔχειν τὴν ἐξουσίαν ἐν τοῖς πρακτοῖς πεπιστεύκαμεν, ὡς δύνασθαι διαιρεῖσθαι τὸ ἀντικείμενον, καὶ μὴ πᾶν ὃ αἱρούμεθα ἔχειν προκαταβεβλημένας αἰτίας, δι' ἃς οὐχ οἷόν τε ἡμᾶς μὴ τοῦτο αἱρεῖσθαι, ἱκανὴ δεῖξαι καὶ ἡ ἐπὶ τοῖς αἱρεθεῖσι γινομέ-

γινομένη πολλάκις μετάνοια. ὡς γὰρ ἐνὸν ἡμῖν καὶ τὸ μὴ ἑλέσθαι, καὶ μὴ πεπραχέναι τοῦτο, μεταγνοοῦμέν τε καὶ μεμφόμεθα αὐτοῖς τῆς περὶ τὴν βουλὴν ὀλιγωρίας, ἀλλὰ κἂν ἄλλους ἴδωμεν, μὴ καλῶς περὶ τῶν πρακτέων διαλαμβάνοντας, κἀκείνοις ἐπικαλοῦμεν οἷς ἁμαρτάνουσιν. ἀξιοῦμεν δὲ συμβούλοις τοιοῖσδε χρῆσθαι, ὡς ἐφ' ἡμῖν ὂν τό, τε παραλαμβάνειν αὐτοὺς συμβούλους ὄντας, ἢ μὴ παραλαμβάνειν, τοῦ πράξαι διὰ τὴν τῶν τοιούτων παρουσίαν ἄλλα τινὰ, καὶ μὴ ταῦτα, ἃ πράσσομεν. ἀλλ' ὅτι μὲν τὸ ἐφ' ἡμῖν ἐπὶ τούτων κατηγορεῖται, ὧν ἐν ἡμῖν ἡ ἐξουσία τοῦ ἑλέσθαι καὶ τὰ ἀντικείμενα, γνώριμον ὂν καὶ ἐξ αὐτοῦ, ἱκανὰ ὑπομνῆσαι καὶ τὰ προειρημένα.

Τοιούτου δ' ὄντος αὐτοῦ, τὸ μὲν δεικνύναι τοῦτο σωζόμενον κατὰ τοὺς πάντα λέγοντας γίνεσθαι καθ' εἱμαρμένην, οὐδὲ ἐπιχειροῦσι τὴν ἀρχήν. ἴσασι γὰρ ἐγχειρήσαντες ἀδυνάτοις. ὡς δὲ ἐπὶ τῆς τύχης ἄλλό τι σημαινόμενον ὑποθέντες τῷ τῆς τύχης ὀνόματι, παράγειν πειρῶνται τοὺς ἀκούοντας αὐτῶν, ὡς σώζοντες καὶ αὐτοὶ τὸ ἀπὸ τύχης γίνεσθαί τινα· οὕτω δὲ καὶ ἐπὶ τοῦ ἐφ' ἡμῖν ποιοῦσιν. ἀναιροῦντες γὰρ τὸ ἐξουσίαν ἔχειν τὸν ἄνθρωπον τῆς αἱρέσεώς τε καὶ πράξεως τῶν ἀντικειμένων, λέγουσιν ἐφ' ἡμῖν εἶναι τό τε γινόμενον καὶ δι' ἡμῶν. ἐπεὶ γάρ φασι τῶν ὄντων τε καὶ γινομένων αἱ φύσεις ἕτεραί τε καὶ διάφοροι, (οὐ γὰρ αἱ αὐταὶ τῶν ἐμψύχων τε καὶ τῶν ἀψύχων, ἀλλ' οὐδὲ τῶν ἐμψύχων ἁπάντων αἱ αὐταὶ πάλιν. αἱ γὰρ κατ' εἶδος τῶν ὄντων διαφοραὶ, τὰς τῶν φύσεων αὐτῶν διαφορὰς δεικνύουσιν)

γίνεται

γίνεται δὲ τὰ ὑφ' ἑκάστου γινόμενα κατὰ τὴν οἰκείαν φύσιν, τὰ μὲν ὑπὸ λίθου κατὰ τὴν λίθου, τὰ δὲ ὑπὸ πυρὸς κατὰ τὴν πυρὸς, καὶ τὰ ὑπὸ ζώου κατὰ τὴν ζώου· οὐδὲν μὲν τῶν κατὰ τὴν οἰκείαν φύσιν ὑφ' ἑκάστου γινομένων, δύνασθαί φασιν ἄλλως ἔχειν, ἀλλ' ἕκαστον τῶν γινομένων ὑπ' αὐτῶν γίνεσθαι κατηναγκασμένως, κατὰ ἀνάγκην οὐ τὴν ἐκ βίας, ἀλλ' ἐκ τοῦ μὴ δύνασθαι τὸ μὴ πεφυκός. οὕτως ὄντων τῶν περιεστώτων τοιούτων, ἀδύνατον αὐτῷ, μὴ περιεστάναι, καὶ ἀδύνατον τότε ἄλλως πῶς καὶ μὴ οὕτω κινηθῆναι. μήτε γὰρ τὸν λίθον, εἰ ἀπὸ ὕψους ἀφεθείη τινὸς, δύνασθαι μὴ φέρεσθαι κάτω μηδενὸς ἐμποδίζοντος, τῷ βαρύτητα μὲν ἔχειν αὐτὸν ἐν αὐτῷ, ταύτην δ' εἶναι τῆς τοιαύτης κινήσεως κατὰ φύσιν. ὅταν καὶ τὰ ἔξωθεν αἴτια τὰ πρὸς τὴν κατὰ φύσιν κίνησιν τῷ λίθῳ συντελοῦντα παρῇ, ἐξ ἀνάγκης τὸν λίθον ὡς πέφυκε φέρεσθαι. πάντως δ' αὐτῷ καὶ ἐξ ἀνάγκης παρεῖναι ταῦτα τὰ αἴτια, δι' ἃ κινεῖται τότε, οὐ μόνον μὴ δυνάμενον μὴ κινεῖσθαι τούτων μὴ παρόντων, ἀλλὰ καὶ ἐξ ἀνάγκης κινεῖσθαι τότε, καὶ γίνεσθαι τὴν τοιαύτην κίνησιν ὑπὸ τῆς εἱμαρμένης διὰ τοῦ λίθου. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν ἄλλων λόγος. ὡς δὲ ἐπὶ τῶν ἀψύχων ἔχει, οὕτω δὲ καὶ ἐπὶ τῶν ζώων ἔχειν φασίν. εἶναι γάρ τινα καὶ τοῖς ζώοις κίνησιν κατὰ φύσιν: ταύτην δ' εἶναι τὴν καθ' ὁρμήν. πᾶν γὰρ ζῶον ὡς ζῶον κινούμενον, κινεῖσθαι καθ' ὁρμὴν κίνησιν ὑπὸ τῆς εἱμαρμένης διὰ ζώου γινομένην. οὕτω δὲ τούτων ἐχόντων, καὶ γινομένων ὑπὸ τῆς εἱμαρμένης κινήσεών τε καὶ ἐνεργειῶν ἐν τῷ κόσμῳ, τῶν μὲν διὰ γῆς, ἂν

οὕτω τύχῃ, τῶν δὲ δι' ἀέρος, τῶν δὲ διὰ πυρὸς, τῶν δὲ δι' ἄλλου τινὸς, γινομένων δέ τινων καὶ διὰ ζώων. τοιαῦται δὲ αἱ καθ' ὁρμὴν κινήσεις. τὰς διὰ τῶν ζώων ὑπὸ τῆς εἱμαρμένης γινομένας, ἐπὶ τοῖς ζώοις εἶναι λέγουσιν. ὁμοίως δὲ ὡς πρὸς τὸ ἀναγκαῖον τοῖς ἄλλοις γινομένας ἅπασι, τῷ δεῖν καὶ τοῖς ἐξ ἀνάγκης τὰ ἔξωθεν αἴτια παρεῖναι τότε. ὥστε αὐτὰ τὴν ἐξ ἑαυτῶν τε καὶ καθ' ὁρμὴν κίνησιν ἐξ ἀνάγκης οὕτω πως ἐνεργεῖν. ὅτι δὲ αὗται μὲν δι' ὁρμῆς τε καὶ συγκαταθέσεως, ἐκείνων δὲ αἱ μὲν διὰ βαρύτητα γίνονται· αἱ δὲ διὰ θερμότητα, αἱ δὲ κατ' ἄλλην τινὰ, ταύτην μὲν ἐπὶ τοῖς ζώοις λέγοντες, οὐκέτι δὲ ἐκείνων ἑκάστην τὴν μὲν ἐπὶ τῷ λίθῳ, τὴν δὲ ἐπὶ τῷ πυρί. καὶ τοιαύτη μὲν αὐτῶν ἡ περὶ τοῦ ἐφ' ἡμῖν δόξα, ὡς δι' ὀλίγων εἰπεῖν.

Ἔνεστι δ' ὁρᾶν, εἰ ταῦτα λέγοντες, σώζουσι τὰς κοινὰς ἐπὶ τοῦ ἐφ' ἡμῖν πάντων ἀνθρώπων προλήψεις. οἱ γὰρ ἀπαιτοῦντες αὐτοὺς, πῶς οἷόν τε πάντων ὄντων καθ' εἱμαρμένην, τὸ ἐφ' ἡμῖν σώζεσθαι, οὐκ ὄνομα μόνον τοῦ ἐφ' ἡμῖν τιθέντες τοῦτ' ἀπαιτοῦσιν, ἀλλὰ καὶ σημαινόμενον ἐκεῖνο τὸ αὐτεξούσιον. διὰ γὰρ τὸ τοιοῦτον εἶναι τὸ ἐφ' ἡμῖν πεπιστεῦσθαι, εὐθύνουσι τοὺς ἐξ ἀνάγκης πάντα γίνεσθαι λέγοντας. οἱ δὲ δέον αὐτόθεν μὴ σώζεσθαι λέγειν, καὶ τοῦ μὴ σώζεσθαι ζητεῖν τι καὶ παρέχεσθαι τὰς αἰτίας, ἐπεὶ τοῦτο ἑώρων παντάπασιν ἄδοξόν τε ὂν, καὶ πολλὰ τῶν καὶ αὐτοῖς τοῦ ἐφ' ἡμῖν πᾶσάν τε ταὐτὸ δεικνὺς * συνοδεύον τῷ τῆς εἱμαρμένης λόγῳ, διὰ τῆς ὁμωνυμίας παρακρούεσθαι τοὺς ἀκούον-

τας,

τας, ἡγοῦνται φεύγειν τὰ ἄτοπα, ὅσα ἕπεται τοῖς μηδὲν ἐφ' ἡμῖν εἶναι λέγουσιν. ταῦτα δὲ λέγοντας αὐτοὺς, πρῶτον μὲν ἂν ἀπαιτήσαι τις εὐλόγως, τί δή ποτε ἄλλων δι' ἄλλων γινομένων ὑπὸ τῆς εἱμαρμένης, καὶ διὰ τῆς οἰκείας φύσεως τῶν ὄντων ἑκάστου τῆς εἱμαρμένης ἐνεργούσης, ἐπὶ μὲν τῶν ἄλλων οὐδενὸς τὸ ἐπ' αὐτοῖς εἶναι κατηγοροῦσιν, ἐπὶ δὲ τῶν ζώων μόνον. δι' ἃ γὰρ λέγουσιν ἐπὶ τῶν ζώων τὰ διὰ τοῦ ζώου γινόμενα, ταῦτ' ἔνεστι καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν. ἐπεὶ γὰρ οὐκ ἄλλως γένοιτο τὰ διὰ τοῦ ζώου γινόμενα, μὴ ὁρμήσαντος τοῦ ζώου, ἀλλὰ διὰ τὸ συγκατατίθεσθαι μὲν τὸ ζῶον καὶ ὁρμῆσαι γίνεται, μὴ συγκατατιθεμένου δὲ οὐ γίνεται. ταῦτα ἐπὶ τῷ ζώῳ φασὶν εἶναι, ἐξ ἀνάγκης μὲν ἐσόμενα ἐπ' αὐτοῦ. οὐ γὰρ οἷόν τε ἄλλως, τῷ δὲ μὴ δύνασθαι δι' ἄλλου τινὸς ἢ διὰ τούτου γενέσθαι, μηδὲ ἄλλως ἢ οὕτω διὰ τούτου τῷ εἶναι αὐτὰ ἐπὶ τῷ ζώῳ οἰηθέντες. ἀλλὰ τοῦτό γε καὶ ἐπὶ τῶν ἄλλων ἑκάστου λέγειν ἐστίν. οὔτε γὰρ τὸ διὰ τοῦ πυρὸς γινόμενον ὑπ' ἄλλου τινὸς ἂν γένοιτο, οὔτ' ἄλλως διὰ τοῦ πυρὸς, ἢ διὰ τοῦ θερμαίνειν· ὥστ' ἐπεὶ μηδὲ ἄλλως γένοιτο τὰ διὰ τοῦ πυρὸς γινόμενα, ἢ θερμαίνοντος τοῦ πυρὸς, καὶ θερμαίνοντος μὲν αὐτοῦ ἔσται, μὴ θερμαίνοντος δὲ οὐκ ἔσται, εἴη ἂν ἐπὶ τῷ πυρὶ ταῦτα. τὰ δὲ αὐτὰ καὶ ὑφ' ἑκάστου τῶν ἄλλων ἔσται λέγειν. τί γὰρ δεῖ μακρολογεῖν, γεγονότος τοῦ λεγομένου γνωρίμου; ὀνομάτων μὲν οὖν οὐδεὶς φθόνος. τὸ δὲ ἡγεῖσθαι πλέον τι τοῖς ζώοις διδόναι, ἐν τοῖς γινομένοις δι' αὐτῶν

παρὰ τ' ἄλλα, δι' ὧν τι καὶ αὐτῶν γίνεται, μηδὲν πλέον τοῦ ἐπ' αὐτοῖς ὀνόματος τηροῦντας αὐτοῖς, τοῦτ' αὐτὸ αἰτιατέον, ὡς αὐτῶν ἀπατωμένων, διὰ τὴν τοῦ ὀνόματος κοινίαν, ἢ ὡς τοὺς ἄλλους ἀπατᾶν προαιρουμένων. ἐπὶ τούτῳ δὲ, ἐκεῖνο ἄν τις αὐτῶν θαυμάσειεν, τί παθόντες ἐν τῇ ὁρμῇ τε καὶ συγκαταθέσει τὸ ἐφ' ἡμῖν φασὶν εἶναι, δι' ὃ καὶ ὁμοίως ἐν πᾶσι τοῖς ζώοις τηροῦσιν αὐτό. οὐ γὰρ τὸ ἐφ' ἡμῖν, ἐν τῷ φαντασίας προσπεσούσης εἶξαί τε ἐξ ἑαυτῶν τῇ φαντασίᾳ καὶ ὁρμῆσαι ἐπὶ τὸ φανέν. ἀλλὰ τοῦτο μὲν ἂν ἴσως εἴη τοῦ ἑκουσίου κατασκευαστικόν τε καὶ δεικτικόν. οὐ μὴν ταὐτὸν τό τε ἑκούσιον καὶ τὸ ἐφ' ἡμῖν. ἑκούσιον μὲν γὰρ, τὸ ἐξ ἀβιάστου γινόμενον συγκαταθέσεως: ἐφ' ἡμῖν δὲ, τὸ γινόμενον μετὰ τῆς κατὰ λόγον τε καὶ κρίσιν συγκαταθέσεως. διὸ εἴ τι μὲν ἐφ' ἡμῖν, τοῦτο καὶ ἑκούσιον· οὐ μὴν πᾶν τὸ ἑκούσιον ἐφ' ἡμῖν. ἑκουσίως μὲν γὰρ καὶ τὰ ἄλογα ζῶα, ὅσα κατὰ τὴν ὁρμήν τε καὶ συγκατάθεσιν τὴν ἐν αὐτοῖς ποιεῖ· τὸ δὲ ἐπ' αὐτῷ τιθέναι τῶν γινομένων ὑπ' αὐτοῦ, ἴδιον ἀνθρώπου. τοῦτο γάρ ἐστιν αὐτῷ τὸ εἶναι λογικῷ, τὸ ἔχειν ἐν αὐτῷ λόγον τῶν προσπιπτουσῶν φαντασιῶν, καὶ ὅλως τῶν πρακτέων τε καὶ μή, κριτήν τε καὶ εὑρετήν. διὸ τὰ μὲν ἄλλα ζῶα, ἃ εἴκει ταῖς φαντασίαις μόναις, κατ' αὐτὰς ἔχει τῶν συγκαταθέσεών τε καὶ τῶν κατὰ τὰς πράξεις ὁρμῶν αἰτίας· ὁ δὲ ἄνθρωπος ἔχει τῶν προσπιπτουσῶν ἔξωθεν αὐτῷ φαντασιῶν, περὶ τῶν πρακτέων κριτὴν τὸν λόγον, ᾧ χρώμενος ἑκάστην αὐτῶν ἐξετάζει, μὴ μόνον, εἰ φαίνεται τοιαύτη, ὁποία φαίνεται, ἀλλὰ καὶ εἰ ἔστι: κἂν

εὕρῃ

εὕρῃ ζητοῦν κατὰ τὸν λόγον ἀλλοῖον αὐτῆς τοῦ φαίνεσθαι τὸ εἶναι, οὐ διότι τοιάδε τις φαίνεται, συνεχώρησεν αὐτῇ, ἀλλ' ὅτι μὴ ᾗ δεῖ τοιαύτη, ἐνίσταται πρὸς αὐτήν. οὕτω γοῦν καὶ ἡδέων τινῶν φαινομένων πολλάκις ἀπέχεται, καίτοι ἔχων ὄρεξιν αὐτῶν, ὅτι μὴ τὸν λόγον ἔχει τῷ φαινομένῳ συνᾴδοντα. ὁμοίως δὲ καὶ συμφέροντα φανέντα τινὰ παρῃτήσατο, τῷ λόγῳ τοῦτο δόξαν. εἰ δὲ τὸ ἐφ' ἡμῖν ἐστὶν ἐν τῇ λογικῇ συγκαταθέσει, ἥτις διὰ τοῦ βουλεύεσθαι γίνεται· οἱ δὲ ἐν τῇ συγκαταθέσει τε καὶ ὁρμῇ φασιν εἶναι, ὅτι καὶ ἀλόγως γίνεται, δῆλοι δι' ὧν λέγουσι ῥᾳθυμότερον περὶ τοῦ ἐφ' ἡμῖν διαλαμβάνοντες, οὔτε ὅτι ποτ' ἐστιν αὐτὸ, οὔτε ἐν τινι γίνεται λέγουσιν. τὸ γὰρ εἶναι λογικῷ, οὐδὲν ἄλλο ἐστὶν, ἢ τὸ ἀρχὴν πράξεων εἶναι. ὡς γὰρ ἄλλῳ ἐν ἄλλῳ τὸ εἶναι, τῷ μὲν ζῴῳ ἐν τῷ ὁρμητικῷ, τῷ δὲ πυρὶ ἐν τῷ θερμῷ τε καὶ θερμαντικῷ, ἄλλῳ δὲ ἐν ἄλλῳ· οὕτω δὲ τῷ ἀνθρώπῳ, ἐν τῷ λογικῷ, ὃ ἴσον ἐστὶ, τῷ ἐν τῷ ἀρχὴν ἔχειν, τοῦ καὶ ἕλεσθαί τι καὶ μὴ, καὶ τὸ αὐτὸ ἄμφω. ὥστε ὁ τοῦτο ἀναιρῶν ἀναιρεῖ τὸν ἄνθρωπον. ἐοίκασι δὲ παραλελοιπότες τὸν λόγον, ἐν τῇ ὁρμῇ τὸ ἐφ' ἡμῖν τίθεσθαι, ὅτι μηκέτ' ἐν τῷ βουλεύεσθαι λέγουσιν αὐτοῖς τὸ ἐφ' ἡμῖν εἶναι, προχωρεῖ τὸ σόφισμα. ἐπὶ μὲν γὰρ τῆς ὁρμῆς ἔχουσιν λέγειν, τὸ ἐπὶ τοῖς ζῴοις εἶναι τὰ γινόμενα καθ' ὁρμήν. ὅτι μὴν οἷά τε χωρὶς ὁρμῆς τὰ δι' αὐτῶν γινόμενα ποιεῖν. εἰ δ' ἐν τῷ βουλεύεσθαι τὸ ἐφ' ἡμῖν, οὐδὲν οὐκέτ' αὐτοῖς εἵπετο τὸ μὴ δύνασθαι τὰ δι' ἀνθρώπου γινόμενα ἄλλως γενέσθαι, τῷ τὸν ἄνθρωπον ὄντα βουλευτικὸν, μὴ πάντα τὰ γινόμενα δι'

αὐτοῦ, βουλευόμενον ποιεῖ. οὐ γὰρ πάντα, ἃ ποιοῦμεν, βουλευσάμενοι ποιοῦμεν, ἀλλὰ πολλάκις μὲν, οὐ συγχωροῦντος τοῦ καιροῦ τῶν πραχθῆναι δεόντων τῷ βουλεύσασθαι χρόνον, καὶ μὴ βουλευσάμενοί τινα ποιοῦμεν, πολλάκις δὲ καὶ δι' ἀργίαν, ἤ τινα ἄλλην αἰτίαν. εἰ δὲ τὰ μὲν βουλευσαμένων ἡμῶν, τὰ δὲ καὶ μὴ βουλευσαμένων γίνεται, οὐκέτι χώραν ἔχει τὸ λέγειν τὸ τὰ διὰ τοῦ βουλεύεσθαι γινόμενα ἐπὶ τῶν ἀνθρώπων εἶναι, τῷ μὴ δύνασθαι ἄλλως τι δι' αὐτοῦ γίνεσθαι. ὥστ' εἰ τὰ μὲν βουλευσάμενοι, τὰ δὲ μὴ βουλευσάμενοι, ποιοῦμεν, οὐκ ἔθ' οὕτω τὰ δι' ἡμῶν γινόμενα, ἁπλῶς γίνεται. ὡς τὰ γινόμενα διὰ τῶν ζώων, ἢ διὰ τοῦ πυρός, ἢ διὰ τῶν βαρέων δύω σωμάτων. εἰ δ' ἔχομεν καὶ τοῦ βουλευσάμενοί τι ποιεῖν παρὰ τῆς φύσεως τὴν ἐξουσίαν, δῆλον ὡς ἔχοιμεν ἐξουσίαν, καὶ τοῦ διὰ τοῦ βουλεύσασθαι, ἄλλό τι πρᾶξαι, καὶ μὴ πάντως τοῦτο, ὃ καὶ βουλευσαμένων ἦν, ἂν βουλευώμεθα. τὸ δὲ ἐποχουμένων τῷ εἴδει τῶν αὐτῶν περιεστώτων, ὅτε μὲν οὕτως, ὅτε δὲ ἄλλως ἐνεργήσῃ τις, ἀναίτιον κίνησιν εἰσάγεσθαι, καὶ διὰ τοῦτο λέγειν μὴ δύνασθαι, οὗ πράξει τις πρᾶξαι τὸ ἀντικείμενον, μή ποτε καὶ αὐτὸ τῶν ὁμοίως τοῖς προειρημένοις παρορωμένων; οὐ γὰρ πάντως ἀεὶ τὰ γινόμενα κατὰ αἰτίαν ἔξωθεν ἔχει τοῦ γίνεσθαι τὴν αἰτίαν. διὰ γὰρ τὴν τοιαύτην ἐξουσίαν, ἔστι τι ἐφ' ἡμῖν, ὅτι τῶν οὕτω γινομένων ἡμεῖς ἐσμὲν κύριοι, ἀλλ' οὐκ ἔξωθέν τις αἰτία. διὸ ἀναιτίως τῶν ἔξωθεν τὰ οὕτω γινόμενα γίνεται, παρ' ἡμῶν τὴν αἰτίαν ἔχοντα. ὁ γὰρ

ἄνθρω-

ἄνθρωπος ἀρχὴ καὶ αἰτία τῶν δι' αὐτοῦ γινομένων πράξεων, καὶ τοῦτό ἐστι τὸ εἶναι ἀνθρώπῳ, τὸ τοῦ πράττειν οὕτω τὴν ἀρχὴν ἔχειν ἐν αὑτῷ, ὡς τῇ σφαίρᾳ τὸ κατὰ τοῦ πρανοῦς κυλιομένῃ φέρεσθαι. διὸ τῶν μὲν ἄλλων ἕκαστον ἕπεται ταῖς ἔξωθεν αὐτῷ περιεστώσαις αἰτίαις, ὁ δ' ἄνθρωπος οὐχ, ὅτι ἐστὶν αὐτῷ τὸ εἶναι ἐν τῷ ἔχειν ἀρχήν τε καὶ αἰτίαν ἐν αὑτῷ, μὴ πάντως ἕπεσθαι τοῖς περιεστῶσιν ἔξωθεν αὐτῷ. καὶ γὰρ ἡμῖν ἡ περὶ τῶν πρακτέων κρίσις, πρὸς ἕνα γινομένη σκοπὸν ἴσως. εἰ δέ τινα λόγον τὸν ἀεὶ περὶ τῶν αὐτῶν, ὁμοίως ἡμῖν γίνεσθαι τὰς κρίσεις. ἐπεὶ δ' οὐχ οὕτως ἔχει, (αἱρούμεθα γὰρ ἃ αἱρούμεθα, ποτὲ μὲν διὰ τὸ καλόν ζ, ποτὲ δὲ διὰ τὸ ἡδὺ, ποτὲ δὲ διὰ τὸ συμφέρον, καὶ οὐ ταὐτὰ τούτων ποιητικά.) ἐνδέχεται νῦν μὲν ἐπὶ τὸ καλὸν κινηθέντας ἡμᾶς τὰ δὲ τῶν περιεστώτων προκείμενα, αὖθις δὲ ἄλλα πρὸς τὸ ἡδὺ ἢ τὸ συμφέρον τὴν ἀναφορὰν τῆς κρίσεως ποιουμένους. ὡς γὰρ οὐ ζητοῦμεν ἄλλην τινὰ αἰτίαν, δι' ἣν κατὰ βαρύτητα τὴν ἐν αὐτῇ ἡ γῆ φέρεται κάτω, ἢ δι' ἣν αἰτίαν ἃ πράσσει τὸ ζῷον, πράσσει καθ' ὁρμήν, τῷ τούτων ἕκαστον αὐτὸ τὴν αἰτίαν ἐξ αὑτοῦ πρὸς τὰ γινόμενα συντελεῖν τοιοῦτον ὂν τὴν φύσιν· οὕτως οὐδ' ἐπὶ τῶν ὑφ' ἡμῶν ἄλλοτ' ἄλλως γινομένων, ἐπὶ περιεστῶσι τοῖς ἄλλοις, ἄλλην τινὰ αἰτίαν ἀπαιτητέον, παρ' αὐτὸν τὸν ἄνθρωπον. τοῦτο γὰρ ἦν τὸ ἀνθρώπῳ εἶναι. τὸ γὰρ ἀρχὴ καὶ αἰτία εἶναι τῶν δι' αὐτοῦ γινομένων πράξεων. τὸ δὲ λέγειν καὶ οὐ βουλομένους τῷ φαινομένῳ συγκατατίθεσθαι, καὶ διὰ τοῦτο καὶ τὴν φαντασίαν ὁμοίως τοῖς ἄλλοις ζῴοις ἕπεσθαι, οὐκ ἀληθές. οὐ γὰρ

φαντα-

φαντασία τὸ φαινόμενον πᾶν. ἡ μὲν γὰρ φαντασία ἁπλῆ τε καὶ χωρὶς λόγου, ὑπὸ τῶν ἔξωθεν προσπιπτόντων γίνεται, ἐοικυῖα ταῖς αἰσθητικαῖς ἐνεργείαις. διὸ καὶ τὴν ἰσχὺν ἐν τοῖς ἀλόγοις ζώοις ἔχει μάλιστα. φαίνεται δέ τινα, καὶ διὰ λόγον τε καὶ παρὰ συλλογισμοῦ τὴν αἰτίαν τοῦ φαίνεσθαι λαμβάνοντα, ἃ οὐκέτ' ἄν τις φαντασίας λέγοι. ὁ γὰρ διὰ τὸν γινόμενον παρ' αὐτοῖς ἐν τῷ βουλεύεσθαι συλλογισμὸν, συγκατατιθέμενός τινι, αὐτὸς αὑτῷ τῆς συγκαταθέσεως αἴτιος. ἀλλ' ὅτι μὲν οὔτε σώζουσι τὸ ἐφ' ἡμῖν, οἱ λέγοντες πάντα καθ' εἱμαρμένην (οὐ γὰρ περὶ οὗ ζητοῦμεν, εἰ σώζεται, καὶ αὐτοὺς τοῦτο σώζεται, οἵγε καὶ αἰτίαν ἀποδιδόναι πειρῶνται, τοῦ μηδὲ τὴν ἀρχὴν δυνατὸν εἶναι τὸ πρᾶγμα) οὔτε ἣν ἀποδιδόασιν αἰτίαν ἐπ' ἀναιρέσει τῆς τοιαύτης ἐξουσίας ἀληθὴς, μὴ ἔχουσά τι εὔλογον, ἐκ τῶν εἰρημένων γνώριμον.

Ἀλλὰ μὴν τοῖς ἀναιροῦσι τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν, ἕπεται τὸ συγχεῖν τε καὶ ἀνατρέπειν, ὅσον ἐπ' αὐτοῖς, τὸν τῶν ἀνθρώπων βίον. εἰ γὰρ ἐχόντων μὲν οὕτω τῶν πραγμάτων ὡς ἔχει. οὐδὲ γὰρ αὐτῶν τινα πεῖσαι δυνατὸν, μὴ πράττειν ἃ πράττουσιν, ὡς ἔχοντας τοῦ καὶ πράττειν αὐτὰ καὶ μὴ πράττειν τὴν ἐξουσίαν, μή τί γε τῶν ἄλλων τινά: τοσαύτην ἰσχὺν ἔχει τἀληθὲς καὶ τὴν παρὰ τῶν γινομένων μαρτυρίαν ἐναργῆ. εἰ δὴ τούτων οὕτως ἐχόντων ἰσχὺν αὐτῶν, ἢ δόξαν τοσαύτην λαβόντων, ὡς πάντας ἀνθρώπους πιστεῦσαι, ὅτι ἡμεῖς μὲν οὐδενὸς κύριοι, ἑπόμεθα δὲ τοῖς περιεστῶσιν ἀεὶ, τούτοις ἐνδιδόντες τε καὶ συγκατατιθέμενοι, καὶ πράττομέν τε ἃ πράττομεν, διὰ τὸ πάντως ὀφείλειν ταῦτα πράττειν: μὴ

γὰρ εἶναι

γὰρ εἶναι δυνατὸν ἡμῖν ὄντων τῶν περιεστώτων τοιούτων, ἄλλο τι ποιεῖν, οὐ πράττομεν δὲ πάλιν ὁμοίως, διὰ τὸ μὴ δύνασθαι ἀντιβαίνειν τοῖς περιεστῶσιν οὖσι τοιούτοις· τί ἄλλο ἢ συμβήσεται ἂν πάντας ἀνθρώπους διὰ τὴν τοιάνδε πίστιν, τὰ μὲν ὅσα μετὰ πόνου τινὸς καὶ φροντίδος γίνεται, τούτοις μὲν χαίρειν λέγειν, αἱρεῖσθαι δὲ τὰς μετὰ ῥᾳστώνης ἡδονάς, ὡς πάντως ἐσομένων τῶν ὀφειλόντων γενέσθαι, μηδὲν αὐτοὶ περὶ αὐτῶν ὦσι καλόν. οὕτω δὴ αὐτῶν διακειμένων, καὶ τῶν πραττομένων ἀκολουθούντων ταῖς αἱρέσεσιν αὐτῶν (οὐ γὰρ δὴ διὰ τὴν περὶ αὐτῶν ἐψευσμένην πίστιν ἄλλως πῶς ἕξει τὰ πράγματα, ἢ ὡς ἔχει) ἄλλο τι, ἢ τῶν μὲν καλῶν παρὰ πάντων ὀλιγωρία τις ἔσται; (πάντων γὰρ ἡ κτῆσις τε καὶ παρουσία τῶν τοιούτων μετὰ καμάτου περιγίνεται) τῶν δὲ κακῶν αἵρεσις, ἅ τε γινομένων μετὰ ῥᾳστώνης τε καὶ ἡδονῆς; πρὸς οὓς τίς ὁ παρὰ τούτων εἴη λόγος, ὧν πεισθέντες τοῖς δόγμασιν ἦλθον ἐπὶ ταῦτα; λέγοιεν ἂν γὰρ δικαίως πρὸς αὐτοὺς, εἰ αἰτιῷντο αὐτοὺς, ὅτι μὴ οἷόν τε ἦν αὐτοῖς τῶν περιεστώτων ὄντων τοιούτων ἀλλοῖόν τι πράττειν: οἷς πῶς ἐπιτιμήσουσιν εὐλόγως εὖ διὰ τῶν δογμάτων τούτων αὐτοῖς διδάσκαλοι γεγονότες; μᾶλλον δὲ οὔτε ἐπιτιμήσεις, οὔτε κολάσεις, οὔτε προτροπὴ, οὔτε τιμὴ, οὔτε ἄλλό τι τῶν τοιούτων τὴν οἰκείαν σώσει κατ' αὐτοὺς φύσιν, ἀλλ' ἔσται καὶ τούτων ἕκαστον γινόμενον κατηναγκασμένως, ὥσπερ κἀκεῖνα, ἐφ' οἷς ταῦτα γίνεται. πῶς γὰρ ἔτι Ἀλέξανδρος ὁ Πριάμου ἐν αἰτίᾳ εἴη, ὡς διαμαρτὼν περὶ τὴν τῆς Ἑλένης ἁρπαγήν; πῶς δὲ ἂν Ἀγαμέμνων εὐλόγως αὐτοῦ

καταψηφίζοιτο λέγων, οὐδ' αὐτὸς ἀναίνομαι; εἰ μὲν γὰρ εἶχεν ἐξουσίαν ὑπερελθεῖν, ἢ Ἀλέξανδρος τῶν τότε παρεστώτων, αὐτὸν παρακαλούντων ἐπὶ τὴν ἁρπαγήν, ἢ Μενέλαος τῶν ἀγανακτεῖν ἐπαιρόντων, ἢ Ἀγαμέμνων ἐφ' οἷς ὡς ἀναμάρτητος αὐτοῦ κατατρέχει, εὐλόγως ἂν ἦσαν ἐν αἰτίᾳ· εἰ δ' ἦν πάλαι καὶ πρόπαλαι καὶ πρὸ τοῦ τὴν ἀρχὴν τινα αὐτῶν γενέσθαι, ἀληθὲς περὶ ἑκάστου προλεγόμενον τούτων ἕκαστον, ἐφ' οἷς ποιήσας εὐθύνεται· πῶς ἂν ἔτ' αὐτοὶ τῶν γινομένων τὴν αἰτίαν ἔχοιεν; πῶς δέ τις ἐξηγήσεται, καὶ τὸ ἐφ' ἡμῖν εἶναι τάς τε ἀρετὰς καὶ κακίας; ἐπεί γε οὕτως ὄντων ἡμῶν, πῶς ἔτ' ἂν εὐλόγως, οἱ μὲν εἶεν ἐν ἐπαίνοις, οἱ δὲ ἐν ψόγοις; οὐδὲν γὰρ ἀλλ' ἢ συνηγορίαν τοῖς κακοῖς τὸ δόγμα τοῦτο παρέξει. ὁρῶμεν γοῦν τῶν μὲν ἀγαθῶν τε καὶ καλῶν πράξεων, οὐδένα τὴν εἱμαρμένην, οὐδὲ τὴν ἀνάγκην αἰτιώμενον, τοὺς δὲ κακοὺς δι' ἐκείνην τοιούτους εἶναι λέγοντας, ὃ πιστεύσαντες καὶ τοὺς φιλοσόφους λέγειν, πῶς οὐ μετὰ παῤῥησίας αὐτοί γε ἐπὶ ταῦτα ἐλεύσονται, τούς τε ἄλλους προτρέψουσιν; πῶς δ' ἂν σώζοιεν, τοιαῦτα λέγοντες, τὴν ὑπὸ τῶν θεῶν γινομένην τῶν θνητῶν πρόνοιαν; εἰ γὰρ αἵ τε τῶν θεῶν ἐπιφάνειαι, ἅς φασι γίνεσθαί τισι, κατά τινα γίνονται προκαταβεβλημένην αἰτίαν, ὡς πρὸ τοῦ γενέσθαι τινὰ αὐτῶν ἀληθὲς εἶναι, τὸ τοῦδε μὲν ἔσεσθαί τινα ἐκ θεῶν κηδεμονίαν, τοῦδε δὲ μή· πῶς ἂν ἔπι τοῦτο πρόνοιάν τι δικαίως λέγοι, τὴν οὐ κατ' ἀξίαν γινομένην,

μένην, ἀλλὰ κατά τινα ἀνάγκην προκαταβεβλημέ-
νην; πῶς δ' ἂν σώζοιτο καὶ ἡ πρὸς τοὺς θεοὺς εὐσέ-
βεια τῶν εὐσεβεῖν δοκούντων, διότι μὴ ἐπ' αὐτοῖς ἦν,
τὸ τοῦτο μὴ ποιεῖν οὕτω ποιούντων; γένοιτο δ' ἂν καὶ πα-
ρὰ τῶν θεῶν, εἰς οὓς γίνεταί τι, παρὰ τοὺς ἄλλους πλέον,
ὅτι καὶ τούτων ἦσαν αἱ ἀρχαί, καὶ περὶ τοῦ τούτους εἶναι,
προκαταβεβλημέναι. πῶς δ' οὐκ ἀναιρεῖ ἂν καὶ μαν-
τικήν, τῆς ἀπὸ μαντικῆς χρείας ἀναιρουμένης; τί γὰρ
ἂν ἢ μαθεῖν, ἢ διὰ τὸ μαθεῖν παρὰ τῶν μάντεων φυ-
λάξαιτο ἄν τις, εἰ μόνα ταῦθ' ἃ ἡμῖν τε μαθεῖν ἐκείνοις
τε μηνῦσαι δυνατόν; ὧν τοῦ μαθεῖν ἡμᾶς καὶ ποιῆσαι ἢ
μὴ ποιῆσαί τι, ἕκαστον ἦν καὶ περὶ τῆς ἡμετέρας γενέσεως
κατηναγκασμένον, τοῦ τε ἐμμένειν τοῖς ὑπὸ τῶν θεῶν
προαγορευομένοις οὐχ ἡμεῖς κύριοι, διὰ τῶν ἐσομένων
ὑφ' ἡμῶν προκαταβεβλῆσθαι τὰς αἰτίας;

Ἀλλ' ὅτι μὲν τὸ δόγμα τοῦτο ἀνατροπῆς αἴτιον παν-
τὸς τοῦ τῶν ἀνθρώπων βίου, παντί που μαθεῖν ῥᾴδιον· ὅτι
δὲ καὶ ψεῦδος, ἱκανὸν μαρτύριον, τὸ μηδ' αὐτοὺς τοὺς
προστάτας αὐτοῦ δύνασθαι πείθεσθαι τοῖς ὑφ' αὐτῶν λεγο-
μένοις. οὕτω γὰρ ἐν πᾶσι τοῖς λόγοις φυλάσσουσι τὸ ἐλεύ-
θερόν τε καὶ αὐτεξούσιον, ὡς μὴ ἀκούσαντές ποτε παρ' ἄλλου
τοιούτου τινὸς δόγματος, τοῦτο δὲ προτρέπειν τινὰς πειρώ-
μενοι, ὡς τοῦ τε ποιεῖν, ἢ μὴ ποιεῖν τοῦτο, τὴν ἐξουσίαν
ἔχοντες αὐτοί, καὶ τῶν προτρεπομένων διὰ τῶν παρ' αὐτοῖς
λόγων αἱρεῖσθαί τινα δυναμένων, ἔπραξαν ἂν τἀναντία

αὐτῶν σιωπώντων. τοῦτο γὰρ ἐπιτιμῶντες, καὶ ἐπιπλήττοντές τισιν, ὡς οὐ τὰ προσήκοντα πράττουσιν. ἀλλὰ καὶ συγγράμματα πλείω καταλείπουσί τε καὶ συγγράφουσιν, δι' ὧν ἀξιοῦσι παιδεύεσθαι τοὺς νέους, οὐχ ὡς κεκωλυμένοι τοῦτο συγγράφειν, διὰ τὸ τὰ περιεστῶτα αὐτοῖς εἶναι τοιαῦτα, ἀλλ' ὡς ὂν μὲν ἐπ' αὐτοῖς συγγράφειν τε καὶ μή, αἱρούμενοι δὲ τὸ γράφειν διὰ φιλανθρωπίαν. ἐπαύσαντο δ' ἂν τῆς ἐν τοῖς λόγοις φιλοτιμίας, καὶ συγχωρησάντων εἶναι τὸ ἐφ' ἡμῖν ἐλεύθερόν τε καὶ αὐτεξούσιον, καὶ κύριον τῆς τῶν ἀντικειμένων αἱρέσεώς τι καὶ πράξεως ἐπὶ περιεστῶσιν ἀνθρώποις * δίκαιος γίνεσθαι πεπιστευμένος ὁμοίως ἰδιώταις τε καὶ νομοθέταις. ἔστι γὰρ τοῦτο, τὸ συγγινώσκεσθαι μὲν ἀξίους εἶναι τοὺς ἀκουσίως ποιοῦντάς τι πράξαντας, οὐχ ὡς ἐπὶ τοῖς γινομένοις πράγμασι τῆς κολάσεως ὁριζομένης, ἀλλ' ἐπὶ τῷ τρόπῳ τῆς πράξεως, ὅπερ οὔτε τῶν ἄλλων τις, οὔτε αὐτῶν τούτων, ὡς οὐ καλῶς ἔχον, αἰτιᾶται. καίτοι τί τῶν δι' ἄγνοιαν πραττομένων ἁμαρτανόντων ἢ βίᾳ, ἧττον ἂν εἶεν συγγνώμης ἄξιοι, εἰδότες μὲν ἃ πράττουσιν, οὐκ ἔχοντες γὰρ ἐν αὐτοῖς τὴν ἐξουσίαν, τούτων αὐτοῖς περιεστώτων, ἃ πάντως αὐτοῖς καὶ ἐξ ἀνάγκης περιεστάναι δεῖ, ἄλλό τι παρ' ἃ πράττουσι, τῷ τὴν φύσιν αὐτῶν εἶναι τοιαύτην, καὶ εἶναι τὸ κατὰ τὴν οἰκείαν αὐτοῖς φύσιν ἕκαστα πράττειν, ὧν πράττουσι καθ' εἱμαρμένην· ὡς τοῖς βαρέσιν ἀφεθεῖσιν ἄνωθεν, τὸ φέρεσθαι κάτω, καὶ τοῖς περιφερέσι τὸ κατὰ τοῦ πρανοῦς, εἰ ἀφεθεῖεν, ἀφ' αὐτοῦ κινεῖσθαι. ὅμοιον γὰρ τὸ τὸν ἵππον κολάζειν ἀξιοῦν, ὅτι μὴ ἔστιν ἄνθρωπος, καὶ τῶν ἄλλων ζώων

ἕκαστον

ἕκαστον, ὅτι ταύτης τῆς ψυχῆς καὶ μὴ βελτίονος τετυχήκασί τινος· ἀλλ' οὐδεὶς Φάλαρις οὕτως ὠμός τε καὶ ἀνόητος, ὡς ἐπί τινι τῶν οὕτω γινομένων κολάζειν τὸν ποιήσαντα. ἐπὶ τίσιν οὖν αἱ κολάσεις εὔλογοι; οὐκ ἐπ' ἄλλοις τισὶν, ἢ ἐπὶ τοῖς παρὰ τὴν αὐτῶν μοχθηρὰν αἵρεσιν γινομένοις. ἐφ' ὧν γὰρ αὐτοὶ τὴν ἐξουσίαν τῆς αἱρέσεως ἔχοντες, καταλιπόντες τὸν σκοπὸν τῶν πραττομένων ὑφ' αὐτῶν ποιεῖσθαι τότε καλὸν καὶ τὸν νόμον, κέρδους χάριν ἢ ἡδονῆς τινος, ὑπερορῶντες ἐκείνων, πράττουσι τὰ φαῦλα, τούτους ἀξίους ἡγοῦνται κολάσεως πάντες ἄνθρωποι, συγγνώμην διδόντες τοῖς οὐχ οὕτως ἁμαρτάνουσιν. ὥρα δὴ πᾶσι τοῖς κακοῖς τὸ θαυμαστὸν δόγμα τοῦτο παρὰ τῶν φιλοσόφων μαθοῦσιν, διδάσκειν τοὺς διδάσκοντας, ὅτι εἰσὶ καὶ αὐτοὶ συγγνώμης ἄξιοι οὐδὲν ἔλαττον τῶν ἀκουσίως ἁμαρτανόντων. οὐ γὰρ ὑπό τινος ἔξωθεν καταναγκάζοντος αὐτοὺς, ποιοῦσιν ἃ ποιοῦσιν, ὧν ἴσως ἐνῆν αὐτοῖς καὶ φυλάξασθαι, ἀλλ' ὑπὸ τῆς φύσεως τῆς ἐν αὐτοῖς, οὐδὲν οἷόν τ' οὖσι λαθόντας ποιῆσαι. καί τις οὐκ ἂν αὐτοῖς ἁμαρτανομένοις αἴτιος. εἰ δὲ οὔτ' ἄλλοις τὶς, οὐ δὲ οὗτοι δόγματος τούτου κύριοι συγγνώμην δοῖεν τινὶ ταύτην τῶν ἁμαρτανομένων φέροντι τὴν αἰτίαν, ὡς ψεῦδός τι καὶ ψευδῆ λέγοντι, δῆλον ὡς ὑπὸ τούτων καὶ ὑπὸ τῶν ἄλλων ἁπάντων ὁμοίως πεπίστευται, τὸ εἶναι τὸ ἐφ' ἡμῖν, οὐχ οἷον ὑπὸ τούτων πλάττεται, ὅταν εἰς τὸ πρόβλημα μελετῶντες λέγωσιν, ἀλλ' οἷον εἶναι αὐτὸ δεῖν, διὰ τῶν ἔργων, οὗτοί τε αὐτοὶ καὶ πάντες ἄνθρωποι μαρτυροῦσιν. εἰ γὰρ ἦσαν οὕτως

ἔχειν πεπιστευκότες, συνεγίνωσκον ἂν πᾶσι τοῖς ἁμαρτάνουσιν, ὡς οὐκ ἔχουσι τοῦ μὴ πάντα πράττειν ἐξουσίαν· ἀλλ' ὅτι μὲν ἔστι τι ἐφ' ἡμῖν ὀνομάσαι, καὶ οὐ διὰ τὴν ἐξουσίαν ταύτην ἀναιτίως τι γίνεται, τοῦ τῶν οὕτω γινομένων αἴτιον τὸν ἄνθρωπον εἶναι, ἀρχὴν αὐτὸν ὄντα τῶν γινομένων ὑφ' αὐτοῦ· ἱκανὰ μὲν δεῖξαι καὶ τὰ εἰρημένα. ἱκανῶς δ' ἂν ἐπείσθησαν καὶ οἱ ἀντιλέγειν πρὸς αὐτὸ πειρώμενοι, εἰ καὶ πρὸς ὀλίγον, πάντα ἃ πράττουσιν, ὑπέμειναν ἂν πρᾶξαι, ὡς ἀληθεύοντες περὶ ὧν λέγουσιν, πιστεύσαντες τοῦ μηδὲν τῶν γινομένων ὑπό τινων οὕτω γίνεσθαι, ὡς καὶ τοῦ μὴ πράττειν αὐτὸ τὴν ἐξουσίαν ἔχοντές ποτε. τῷ γὰρ τοῦτο πεπιστευμένῳ, οὐκ ἐπιτιμῆσαί τινι, οὐκ ἐπαινέσαι τινά, οὐ συμβουλεῦσαί τινι, οὐ προτρέψασθαί τινα, οὐκ εὔξασθαι θεοῖς, οὐ χάριν αὐτοῖς γνῶναι περί τινων, οὐκ ἄλλό τι ποιεῖν οἷόν τε τῶν ὀφειλομένων εὐλόγως γίνεσθαι ὑπὸ τῶν καὶ τοῦ ποιεῖν ἕκαστον ὧν ποιοῦσι τὴν ἐξουσίαν πεπιστευκότων. ἀλλὰ μὴν ἔξω τούτων, ἀβίωτος ὁ τῶν ἀνθρώπων βίος, καὶ οὐδὲ τὴν ἀρχὴν ἀνθρώπων ἔτι.

Μηδὲ ἐκεῖνο δὲ ἡμῖν ἀνεξέταστον παραλελείφθω· εἴ τις ὑπόθοιτο μηδὲν μᾶλλον ἀληθῆ εἶναι, τὸ εἶναί τι οὕτως ἐφ' ἡμῖν, ὡς ἡμεῖς τε ἀξιοῦμεν, καὶ ἡ τῶν πραγμάτων φύσις ἔχειν μαρτυρεῖ, τοῦ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι καὶ καθ' εἱμαρμένην, ἀλλ' εἶναι ἐπίσης ἑκάτερον, ἢ πιστόν, ἢ ἄδηλον αὐτοῦ· πότερα δόξῃ πείθεσθαι, τοῖς ἀνθρώποις ἀσφαλέστερόν τε καὶ ἀκινδυνότερον; καὶ ποῖον ψεῦδος αἱρετώτερον; πότερον τὸ πάντων γινομένων καθ' εἱμαρμέ-

μαρμένην, ἢ μὴ οὕτως ἔχειν ὑπολαμβάνειν, ἀλλ' εἶναι καὶ ἡμᾶς τοῦ τι πρᾶξαι ἢ μὴ πρᾶξαι κυρίους, ἢ ὄντος τινὸς καὶ ἐφ' ἡμῖν οὕτως ὡς προειρήκαμεν, πεπεῖσθαι τὸ τοῦτο μὲν ψεῦδος εἶναι, πάντα δὲ καὶ τὰ ὑφ' ἡμῶν πραττόμενα κατὰ τὴν ἡμετέραν ἐξουσίαν γίνεσθαι κατηναγκασμένως. ἢ γνώριμον, ὅτι οἱ μὲν ἁπάντων γινομένων καθ' εἱμαρμένην αὐτοὺς πείθοντες, ὡς ἐξουσίαν ἔχοντας τινῶν τοῦ τε πράττειν αὐτὰ καὶ μὴ, οὐδὲν ἂν παρὰ τήνδε τὴν πίστιν ἐν τοῖς πραττομένοις ἁμάρτοιεν, τῷ μηδὲ τὴν ἀρχὴν τῶν γινομένων τινὸς ὑφ' αὐτῶν εἶναι κύριοι, ὥσθ' ὁ κίνδυνος τῆς κατὰ τοῦτο διαμαρτίας πρόεισι μέχρι ῥημάτων· εἰ δέ γε ὄντος τινὸς καὶ ἐφ' ἡμῖν καὶ μὴ πάντων γινομένων ἐξ ἀνάγκης, πείθεσθαι μὲν μηδενὸς ὄντας κυρίους, πολλὰ παραλείπομεν τῶν δεόντως ἂν πραχθέντων ὑφ' ἡμῶν, καὶ διὰ τὸ βουλεύσασθαι περὶ αὐτῶν, καὶ διὰ τὸ τοὺς ἐπὶ τοῖς πραττομένοις καμάτους προθύμως ὑφίστασθαι, ἀργότεροι γινόμενοι πρὸς τὸ δι' αὐτῶν τι ποιεῖν, διὰ τὴν πίστιν, τοῦ καὶ μηδὲν ἡμῶν πραγματευομένων περὶ τῶν πρακτέων τὸ ὀφεῖλον γίνεσθαι. οὕτω δὴ τούτων ἐχόντων, πρόδηλον ὡς αἱρετώτερον τοῖς φιλοσόφουσι, τὴν ἀκινδυνοτέραν ὁδὸν αὐτούς τε αἱρεῖσθαι, καὶ τοὺς ἄλλους ἄγειν.

Οὐ χεῖρον δὲ, τούτων προτεθεωρημένων, καὶ αὐτὰ τὰ περὶ τῆς εἱμαρμένης ὑπ' αὐτῶν λεγόμενα προθεμένους ἰδεῖν, εἴ τινα τοιαύτην ἔχοι βίαν, ὡς εὔλογον εἶναι, διὰ τὴν πρὸς τὸ ἀληθὲς οἰκειότητα, καὶ τῶν ἐναργῶν οὕτως

ὑπεροράν. ἔσται δὲ ἡμῖν καὶ ὁ περὶ τούτων λόγος ἐπὶ τοσοῦτον, ἐφ᾽ ὅσον δεῖ χρήσιμος πρὸς τὰ προκείμενα.

Φασὶ δή, τὸν κόσμον τόνδε, ἕνα ὄντα, καὶ πάντα τὰ ὄντα ἐν αὑτῷ περιέχοντα, καὶ ὑπὸ φύσεως διοικούμενον ζωτικῆς τε καὶ λογικῆς καὶ νοερᾶς, ἔχειν τὴν τῶν ὄντων διοίκησιν ἀΐδιον κατὰ εἱρμόν τινα καὶ τάξιν προϊοῦσαν, τῶν πρώτων τοῖς μετὰ ταῦτα γινομένοις αἰτίων γινομένων, καὶ τούτῳ τῷ τρόπῳ συνδεδεμένων ἁπάντων ἀλλήλοις, καὶ μήτε οὕτω τινὸς ἐν αὐτῷ γινομένου, ὡς μὴ πάντως ἐπακολουθεῖν αὐτῷ καὶ συνῆφθαι ὡς αἰτίῳ ἕτερόν τι, μήτ᾽ αὖ τῶν ἐπιγινομένων τινὸς ἀπολελύσθαι δυναμένου τῶν προγεγονότων, ὡς μή τινι ἐξ αὐτῶν ἀκολουθεῖν ὥσπερ συνδεόμενον, ἀλλὰ πάντη τε τῷ γινομένῳ ἕτερόν τι ἐπακολουθεῖν ἠρτημένον αὐτοῦ ἐξ ἀνάγκης ὡς αἰτίου, καὶ πᾶν τὸ γινόμενον ἔχειν τι πρὸ αὐτοῦ, ᾧ ὡς αἰτίῳ συνήρτηται. μηδὲν γὰρ ἀναιτίως μήτε εἶναι μήτε γίνεσθαι τῶν ἐν τῷ κόσμῳ, διὰ τὸ μηδὲν εἶναι τῶν ἐν αὐτῷ ἀπολελυμένον τε καὶ κεχωρισμένον τῶν προγεγονότων ἁπάντων. διασπᾶσθαι γὰρ καὶ διαιρεῖσθαι, καὶ μηκέτι τὸν κόσμον ἕνα μένειν αἰεί, κατὰ μίαν τάξιν τε καὶ οἰκονομίαν διοικούμενον, εἰ ἀναίτιός τις εἰσάγοιτο κίνησις, ἣν εἰσάγεσθαι, εἰ μὴ πάντα τὰ ὄντα τε καὶ γινόμενα ἔχει τινὰ αἴτια προγεγονότα, οἷς ἐξ ἀνάγκης ἕπεται. ὅμοιόν τε εἶναί φασι καὶ ὁμοίως ἀδύνατον τὸ ἀναιτίως τῷ γίνεσθαί τι ἐκ μὴ ὄντος. τοιαύτην δὲ οὖσαν τὴν τοῦ παντὸς διοίκησιν ἐξ ἀπείρου εἰς ἄπειρον ἐναργῶς τε καὶ ἀκαταστρόφως γίνεσθαι. οὔσης δέ τινος διαφορᾶς ἐν τοῖς αἰτίοις, ἣν ἐκπ-

ἐκπ-

ἐκλιθέντες (σμήνος γὰρ αἰτίων καταλέγουσιν) τὰ μὲν προκαταρκτικὰ, τὰ δὲ συναίτια, τὰ δὲ ἑκτικὰ, τὰ δὲ συνεκτικὰ, τὰ δὲ ἄλλο τι. οὐδὲν γὰρ δεῖ τὸν λόγον μηκύνειν, πάντα τὰ λεγόμενα παρατιθεμένους, τὸ βούλημα αὐτῶν δεῖξαι τοῦ περὶ τῆς εἱμαρμένης δόγματος. ὄντων δὴ πλειόνων αἰτίων, ἐπίσης ἐπὶ πάντων αὐτῶν ἀληθές φασιν εἶναι, τὸ ἀδύνατον εἶναι τῶν αὐτῶν ἁπάντων περιεστηκότων περί τε τὸ αἴτιον καὶ ᾧ ἐστὶν αἴτιον, ὅτε μὲν μὴ οὕτω συμβαίνειν, ὅτε δὲ οὕτως. ἔσεσθαι γὰρ εἰ οὕτω γίγνοιτο, ἀναίτιόν τινα κίνησιν· τὴν δὲ εἱμαρμένην αὐτὴν, καὶ τὴν φύσιν καὶ τὸν λόγον, καθ' ὃν διοικεῖται τὸ πᾶν, θεὸν εἶναί φασιν, οὖσαν ἐν τοῖς οὖσί τε καὶ γινομένοις ἅπασιν, καὶ οὕτω χρωμένην ἁπάντων τῶν ὄντων τῇ οἰκείᾳ φύσει πρὸς τὴν τοῦ παντὸς οἰκονομίαν. καὶ τοιαύτη μὲν, ὡς διὰ βραχέων εἰπεῖν, ἡ περὶ τῆς εἱμαρμένης ὑπ' αὐτῶν καταβεβλημένη δόξα.

Ἔστι δὲ τὸ ψεῦδος τῶν λεγομένων, οὐ λόγων τινῶν, οὐδὲ ἐλέγχων ἔξωθεν δεόμενον, ἀλλ' αὐτόθεν γνώριμον. τίς γὰρ ἔλεγχος λόγου φανερώτερος τοῦ μὴ ἐφαρμόζειν τούτοις, περὶ ὧν λέγεται; τὸ γοῦν πρῶτον εἰρημένον, ὥσπερ τῶν ὄντων αἰτίων τινῶν γινομένων μετὰ ταῦτα, καὶ τούτων τὸν τρόπον ἐχομένων ἀλλήλων τῶν πραγμάτων, τοῦ δίκην ἁλύσεως τοῖς πρώτοις συνηρτῆσθαι τὰ δεύτερα, ὃ ὥσπερ οὐσίαν τῆς εἱμαρμένης ὑποτίθενται· πῶς οὐκ ἀπᾴδει τῶν πραγμάτων; εἰ γὰρ τῶν τέκνων οἱ πατέρες αἴτιοι, καὶ δεῖ κατ' οἰκειότητα τὰς αἰτίας ἀπαιτεῖν, ὡς ἀνθρώπου μὲν ἄνθρωπον

αἴτιον εἶναι, ἵππου δὲ ἵππον· τίνος αἴτιοι τῶν μετ' αὐτοὺς, οἱ τὴν ἀρχὴν μηδὲ γήμαντες; τίνος δὲ οἱ παῖδες οἱ πρὸ τῆς ἡλικίας διαφθαρέντες; πολλὰ γὰρ τῶν γινομένων ὑπὸ τῆς κατὰ τὸ ποσὸν ἐλλείψεως, ἢ μὴ κινηθέντα, ἢ φθαρέντα πρότερον, οὐδενὸς ἔφθη γινόμενα τῶν κατὰ τὴν ὑπάρχουσαν δύναμιν αὐτοῖς αἴτια. τίνος δὲ ἐροῦσιν αἴτια τὰ ἔν τισι μέρεσι τοῦ σώματος φυόμενα περιττώματα; τίνος δὲ τὰ τέρατά τε καὶ γινόμενα παρὰ φύσιν; ἃ τὴν ἀρχὴν οὐδὲ διαμένειν οἷά τε. εἰ δὲ ὁ μὲν φλοιὸς ἐν τοῖς φυτοῖς ἕνεκα τοῦ περικαρπίου, τὸ δὲ περικάρπιον τοῦ καρποῦ χάριν, καὶ ἀρδεύεται μὲν, ἵνα τρέφηται, τρέφεται δὲ, ἵνα καρποφορῇ, ἀλλ' ἔστι γε πολλὰ ἐν αὐτοῖς εὑρεῖν, καὶ μὴ τοῦτον γινόμενα τὸν τρόπον. τίνος γὰρ ἄν τις εἴποι τὰ σεσηπότα καὶ τὰ ξηρὰ τῶν καρπῶν αἴτια τῶν μετὰ ταῦτα; τίνος δὲ τὴν τινῶν φύλλων διδυμότητα; ἐξ ὧν φανερὸν τοῖς ὁρᾶν τἀληθῆ βουλομένοις τε καὶ δυναμένοις, ὅτι ὥσπερ οὐ πάντα δυνατὸν ἐνεργεῖν, οὕτως οὐδὲ πᾶν, ὃ ἂν γένοιτο αἴτιον, καὶ ἔστιν αἴτιον ἤδη, γέγονεν, ἢ γενήσεται· ἀλλ' οὐδὲ πᾶν τὸ γεγονὸς εὐθὺς τῷ εἶναι ἤδη, καὶ αἴτιόν ἐστιν ἐσομένου τινός. τὸ δ' ὁμόσε χωροῦντας μὲν λέγειν καὶ ταῦτα, καταφεύγειν δὲ ἐπὶ τὸ ἄδηλον εἶναί τινος αἴτια, ὥσπερ ἀμέλει ἐπὶ τῆς προνοίας τῆς κατ' αὐτοὺς ἀναγκάζονται ποιεῖν πολλάκις· εὐπορίαν ἐπὶ τοῖς ἀπόροις μηχανωμένων. τούτῳ γὰρ χρωμένους, ἐνέσται περὶ πάντων τῶν ἀτοπωτάτων λέγειν

λέγειν, ὡς καὶ ὄντων καὶ εὐλόγους ἐχόντων τινὰς αἰτίας, ἡμῖν δὲ ἀδήλους ἔτι. ἆρ' οὖν τούτων οὕτως ἐχόντων, ἀναιτίως τι γενήσεται, καὶ τοῦθ' ἡμῶν ὁ λόγος προξενεῖ; ἢ δύναται σώζεσθαι, τὸ μηδὲν ἀναιτίως τῶν γινομένων γίνεσθαι, καὶ τοῦτον τὸν τρόπον ἐχόντων, ὡς ἡμεῖς λέγομεν, τῶν πραγμάτων; ἂν γὰρ παυσάμενοι τῆς ἀναλύσεως τῶν αἰτίων, καὶ τοῦ τοῖς πρώτοις γινομένοις λέγειν ἐξ ἀνάγκης ἕπεσθαι, τὸ αἰτίοις φύσει ὀφείλειν γίνεσθαι, ὡς ἐν τῇ οὐσίᾳ αὐτῶν τὸ αἰτίων, περιέχουσιν, ἀπὸ τῶν γινομένων τε καὶ ὑστέρων τὴν ἀπόδοσιν τῶν αἰτίων ποιώμεθα· ἔτι τε τῶν γινομένων κυρίως ζητοῦμεν τὰς αἰτίας, οὔτε ἀναιτίως τι τῶν γινομένων γενήσεται, οὔτε διὰ τοῦτο ἐξ ἀνάγκης γενήσεται, καθ' εἱμαρμένην τοιαύτην πάντοθεν γινόμενον ἔσται. οὐκ ἐξ ἀνάγκης γὰρ Σωφρονίσκος τῷ εἶναι, ἤδη καὶ πατήρ ἐστι καὶ αἴτιός τινι τῶν μετ' αὐτόν. εἰ μέν τοι Σωκράτης εἴη ἐξ ἀνάγκης, αὐτῷ τῆς γενέσεως Σωφρονίσκος ἐξ ἀνάγκης αἴτιος. ὡς γὰρ θεμελίου μὲν ὄντος οὐκ ἀναγκαῖον οἰκίαν γενέσθαι, οἰκίας δὲ οὔσης προκαταβεβλῆσθαι τὸν θεμέλιον ἀνάγκη· οὕτως ἔχειν ὑποληπτέον καὶ ἐν τοῖς γινομένοις φύσει τὰ αἴτια ἐξ ἀνάγκης, οὐκ αὐτοῖς πρώτοις, ἐξ ἀνάγκης ἑπόμενον τὸ αἰτίοις εἶναί τινων, ἀλλὰ τοῖς ὑστέροις γινομένοις τὸ ἐξ ἀνάγκης ἔχειν τι τῶν πρὸ αὐτῶν αἴτιον. Ἔστι δέ τινα τῶν γινομένων καὶ

τοιαῦτα, ὡς ἔχειν μὲν αἴτιόν τι, οὐ μὴν οἰκεῖον, οὐδὲ προηγούμενον, ἀλλ' ὡς ἡμῖν ἔθος λέγειν κατὰ συμβεβηκός. ὁ γὰρ εὑρεθεὶς θησαυρὸς ὑπὸ τοῦ διὰ τὸ φυτεύειν σκάπτοντος, ἔχει μὲν τὸ σκάπτειν αἴτιον, ἀλλ' οὐκ οἰκεῖον, οὐδὲ γινόμενον δι' αὐτόν. τὰ μὲν γὰρ κυρίως αἴτια, ἢ ἐξ ἀνάγκης μόνον, ὡς τούτοις δοκεῖ, καὶ ὡς ἐπὶ τὸ πολὺ ἑπόμενον ἔχει τὸ αἴτιον, τὰ δὲ κατὰ συμβεβηκὸς οὕτως αἴτια σπανίως γίνεται τῶν τοιούτων αἴτια. ὥστε τοῖς τοῦτον τὸν τρόπον λέγουσιν, ἅμα μὲν ἕπεται τὸ μηδὲν ἀναιτίως γίνεσθαι λέγειν, ἅμα δὲ τὸ σώζειν, τό τε ἀπὸ τύχης καὶ αὐτομάτως γίνεσθαί τινα, καὶ εἶναι καὶ τὸ ἐφ' ἡμῖν, καὶ τὸ ἐνδεχόμενον ἐν τοῖς πράγμασιν, ἀλλ' οὐ φωνὴν μόνον. πῶς γὰρ οὐ φανερῶς τὸ λέγειν τὸ ψεῦδος, πᾶν τὸ ἑπόμενόν τινι ἐξ ἐκείνου τὴν αἰτίαν τοῦ εἶναι ἔχειν, καὶ πᾶν τὸ προηγούμενόν τινος, αἴτιον ὑπάρχειν ἐκείνῳ; ὁρῶμεν γὰρ ὅτι τὰ ἐφεξῆς ἀλλήλοις ὄντα τῷ χρόνῳ, οὐ πάντα διὰ τὸ ἔμπροσθεν, καὶ πρὸ αὐτῶν γεγονότα γίνεται. οὔτε γὰρ τὸ βαδίσαι διὰ τὸ ἀναστῆναι, οὔτε νὺξ διὰ τὴν ἡμέραν, οὔτε ὁ τῶν Ισθμίων ἀγὼν, διὰ τὸν τῶν Ολυμπίων, ἀλλ' οὐδὲ διὰ τὸν χειμῶνα τὸ θέρος. ὅθεν καὶ θαυμάσειεν ἄν τις αὐτοὺς, τὴν αἰτίων ἀπόδοσιν τοῦτον ποιουμένους τὸν τρόπον, ὡς αἰεὶ τὸ πρῶτον γεγονὸς αἰτιᾶσθαι τὸ μετὰ τοῦτο, καὶ ποιεῖν ἐπισύνδεσίν τινα καὶ συνέχειαν τῶν αἰτίων, καὶ ταύτην τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέρονται τὴν αἰτίαν. ὁρῶμεν γὰρ ἐπὶ πολλῶν, αὐτὸ καὶ τοῖς πρώτοις καὶ τοῖς ὑστέροις γινομένοις ὂν αἴτιον. τοῦ γοῦν ἀναστῆναι καὶ τοῦ περιπατῆσαι, τὸ αὐτὸ αἴτιον. οὐ γὰρ τὸ ἀναστῆναι τοῦ πε-

ριπα-

ἐμπατῆσαι, ἀλλ' ἀμφοτέρων ὁ ἀναστὰς καὶ περιπατῶν αἴτιος, καὶ ἡ τούτου προαίρεσις. ὁρῶμεν δ' ὅτι καὶ νυκτὸς καὶ ἡμέρας τάξιν τινὰ ἔχουσι πρὸς ἀλλήλας, οὐ καὶ ταῦτον αἴτιον. ὁμοίως δὲ καὶ τῆς τῶν καιρῶν μεταβολῆς. οὐ γὰρ ὁ χειμὼν αἴτιος τοῦ θέρους, ἀλλ' ἐκείνων τε καὶ τούτου, τοῦ θείου σώματος κίνησίς τε καὶ περιφορά, καὶ ἡ κατὰ τὸν λοξὸν κύκλον ἔγκλισις, καθ' ἣν ὁ ἥλιος κινούμενος, ἁπάντων ὁμοίως τῶν προειρημένων αἴτιον· καὶ ὅτι μὴ νὺξ τῆς ἡμέρας αἰτία, ἢ ὁ χειμὼν τοῦ θέρους, μηδὲ ἐμπλέκεται ταῦτα ἀλλήλοις ἁλύσεως δίκην, ἕως ἂν ταῦτα γίνεται, ἢ εἰ μὴ οὕτω γίνοιτο, διασπασθήσεται ἡ τοῦ κόσμου τε καὶ τῶν ἐν αὐτῷ γινομένων τε καὶ ὄντων ἕνωσις. ἱκανὰ γὰρ τὰ θεῖα καὶ ἡ τούτων περιφορά, τὴν τῶν γινομένων ἐν τῷ κόσμῳ συνέχειαν φυλάσσειν. ἀλλ' οὐδὲ τὸ περιπατεῖν ἀναίτιον, ἐπεὶ μὴ ἐκ τοῦ ἀναστῆναι τὴν αἰτίαν ἔχει. ὥστ' οὐχ οὕτως αἰτίων εἱρμὸς ὑπ' αὐτοῦ λεγόμενος, εὐλόγως ἂν τοῦ μηδὲν ἀναιτίως γίνεσθαι φέροιτο τὴν αἰτίαν. ὡς γὰρ αἱ κινήσεις καὶ οἱ χρόνοι, ἔχουσι μέν τινα αἰτίαν, οὐ μὴν οὔτε ἡ κίνησις τὴν πρὸ αὐτῆς, οὔτε ὁ χρόνος τὸν πρὸ αὐτοῦ χρόνον, οὕτως ἔχει καὶ τὰ ἐν αὐτοῖς τε καὶ τὰ δι' αὐτῶν γινόμενα πράγματα. τῆς μὲν γὰρ συνεχείας τῶν γινομένων, ἐστί τις αἰτία, δι' ἣν ὁ κόσμος εἷς τε καὶ ἀΐδιος κατὰ τὸ αὐτό τε καὶ ὡσαύτως ἀεὶ διοικούμενος, καὶ δεῖ ταύτην ζητεῖν τε καὶ παραλαβεῖν τὴν αἰτίαν. οὐ μὴν χρὴ τοιαύτην ὑπολαμβάνειν, ἕως ἐκ τοῦ πρεσβυτέρου γίνεσθαι τὸ νεώτερον, ὡς ὁρῶμεν γινόμενον ἐπὶ τῆς τῶν ζώων γενέσεως.

εὔλογον δὲ, καὶ ἀρχήν τινα ἐν τοῖς αἰτίοις εἶναι λέγειν, οὐκ ἔτι ἄλλην πρὸ αὐτῆς ἀρχὴν καὶ αἰτίαν ἔχουσαν. οὐ γὰρ εἰ πάντα τὰ γινόμενα πάντα αἴτια ἔχει, ἤδη καὶ πάντων εἶναί τινας αἰτίας ἀνάγκη. οὐ γὰρ πάντα τὰ ὄντα γίνεται. πῶς γὰρ οὐκ ἄτοπον τὸ λέγειν ἐπ' ἄπειρον εἶναι τὰ αἴτια, καὶ τὸν εἱρμὸν αὐτῶν καὶ τὴν ἐπισύνδεσιν, ὡς πρῶτόν τι μὴ εἶναι, μήτε ἔσχατον; τὸ γὰρ μηδὲν εἶναι πρῶτον αἴτιον λέγειν, ἀναιρεῖν ἐστι τὸ αἴτιον. ἀναιρουμένης γὰρ ἀρχῆς, ἀναιρεῖσθαι καὶ τὸ μετ' αὐτὴν ἀνάγκη. ἀναιροῖτο δ' ἂν καὶ ἐπιστήμη κατὰ τὸν λόγον τοῦτον· εἴγε ἐπιστήμη μέν ἐστιν κυρίως ἡ τῶν πρώτων αἰτίων γνῶσις. οὐκ ἔστι δὲ κατ' αὐτοὺς ἐν τοῖς αἰτίοις τὸ πρῶτον. οὐ πᾶσα δὲ τάξεως παράβασις ἀναιρετικὴ τῶν ἐν οἷς γίνεται. γίνεται γὰρ ἔνια καὶ παρὰ τὴν τοῦ βασιλέως τάξιν οὐκ ἀδύνατον, ἃ οὐ πάντως τῆς βασιλείας ἤδη φθαρτικά. οὐδὲ εἴ τι τοιοῦτον ἐν τῷ κόσμῳ γίνοιτο, πάντως ἤδη τοῦτο λύει τὴν εὐδαιμονίαν τοῦ κόσμου· καθάπερ οὐδὲ τὴν τοῦ οἴκου καὶ τὴν τοῦ δεσπότου ἡ τυχοῦσα τῶν οἰκετῶν ῥᾳδιουργία. ἃ δὲ ἀποροῦσι πρὸς τὸ εἶναι τοιοῦτον τὸ ἐφ' ἡμῖν, ὁποῖον ἡ κοινὴ πρόληψις τῶν ἀνθρώπων πεπίστευκεν, ἀπορεῖν μὲν οὐκ ἄλογον, τὸ δὲ τοῖς ἀπορουμένοις ἐποχουμένους, ὡς ὁμολογουμένοις, ἀναιρεῖν μὲν τὰ οὕτως ἐναργῆ, σκιαγραφίαν δέ τινα καὶ παιδιὰν ἀποφαίνειν τὸν τῶν ἀνθρώπων βίον, καὶ συναγωνίζεσθαι τοῖς ἀπορουμένοις καθ' αὑτῶν, ὡς οὖν παντάπασιν ὀλίγον. οὐδὲ γὰρ τῷ μὴ δυναμένῳ λύειν τινὰ τῶν Ζήνωνος λόγων τῶν κατὰ

τῆς

τῆς κινήσεως, ἤδη κίνησιν ἀναιρετέον. ἱκανωτέρα γὰρ ἡ τοῦ πράγματος ἐνάργεια πρὸς συγκατάθεσιν, πάσης τῆς διὰ λόγων ἀναιρέσεως αὐτοῦ πιθανότητος.

Οὐ χεῖρον δὲ ἴσως καὶ ἡμᾶς τῶν ἀπορουμένων ὑπ' αὐτῶν, οἷς μάλιστα θαῤῥοῦσιν, ταῦτα προχειρισαμένους ἐξετάσαι πῶς ἔχει. ἴσως γὰρ οὐδὲν ἄγαν φανεῖται εἰς αὐτά. ἔστι δή τι τῶν ἀπορουμένων ὑπ' αὐτῶν καὶ τοιοῦτον. εἰ, φασί, ταῦτά ἐστιν ἐφ' ἡμῖν, ὧν καὶ τὰ ἀντικείμενα δυνάμεθα, καὶ ἐπὶ τοῖς τοιούτοις οἵ τε ἔπαινοι καὶ οἱ ψόγοι, προτροπαί τε καὶ ἀποτροπαί, κολάσεις τε καὶ τιμαί, οὐκ ἔσται τὸ φρονίμοις εἶναι, καὶ τὰς ἀρετὰς ἔχειν ἐπὶ τοῖς ἔχουσιν· ὅτι μηδέ τισι τῶν ἀντικειμένων κἀκείνων ταῖς ἀρεταῖς δεκτικαί· ὁμοίως δὲ οὐδὲ αἱ κακίαι ἐπὶ τοῖς κακοῖς. οὐδὲ γὰρ ἐπὶ μὲν τούτοις τὸ μηκέτ' εἶναι κακοῖς. Ἀλλὰ μὴν ἄτοπον, τὸ μὴ λέγειν τὰς ἀρετὰς, καὶ τὰς κακίας ἐφ' ἡμῖν, μηδὲ τοὺς ἐπαίνους καὶ τοὺς ψόγους ἐπὶ τούτων γίνεσθαι. οὐκ ἄρα τὸ ἐφ' ἡμῖν τοιοῦτον. οἱ συγχωρήσαντες ἀναποβλήτους τὰς ἀρετάς τε καὶ τὰς κακίας εἶναι, ἴσως προχειρότερον λαμβανόμενον λέγοιμεν ἂν κατὰ τοῦτο, τὰς ἕξεις ἐπὶ τοῖς ἔχουσιν εἶναι, καθόσον πρὸ τοῦ λαβεῖν αὐτὰς ἐπὶ αὐτοῖς ἦν καὶ μὴ λαβεῖν. οἵ τε γὰρ τὰς ἀρετὰς ἔχοντες, ἐξὸν καὶ τῶν βελτιόνων ἀμελεῖν, ἑλόμενοι τὰ βελτίω, αὐτοὶ αἴτιοι τῆς τῶν ἀρετῶν ἐγγινομένου κτήσεως· οἵ τε τὰς κακίας ἔχοντες, παραπλησίως. ὁ δ' αὐτὸς καὶ ἐπὶ τῶν τεχνῶν λόγος. καὶ γὰρ τῶν τεχνιτῶν ἕκαστος, πρὸ μὲν τοῦ τέχνην ἔχειν, εἶχε καὶ τοῦ μὴ γενέσθαι τὴν ἐξουσίαν, γενόμε-

γινόμενος δὲ, οὐκέτ' ἔσται κύριος τοῦ μὴ γεγονέναι τε καὶ εἶναι τοιοῦτος. αἱ γὰρ γενέσεις τῶν τοιούτων ἐφ' ἡμῖν· καὶ διὰ τοῦτο οὐχ ὅμοιον τὸ ἀληθὲς, ἐπί τε τῶν μελλόντων, καὶ ἐπὶ τῶν μενόντων τε καὶ γεγονότων. ὅτι ὄν τε καὶ γεγονὸς, οὐχ οἷόν τε ἢ μὴ εἶναι, ἢ μὴ γεγονέναι· τὸ δὲ μέλλον γίνεσθαι, ἐνδέχεται δὲ καὶ μὴ γίνεσθαι. διὸ πρὸ μὲν τοῦ τὴν ἀρετὴν ἔχειν τονδέ τινα, ἀληθὲς ἦν τὸ ἐνδέχεσθαι καὶ μὴ γενέσθαι τοιοῦτον. ὁ δὲ τοιοῦτον γίνεται, τοῦτο καὶ γινόμενον, ἀληθὲς οὕτω λέγειν γεγονέναι. εἰ μὲν οὖν ἦν ἐκ γενετῆς ὁ φρόνιμος τοιοῦτος, καὶ τοῦτο πρὸς τοῖς ἄλλοις τοῖς ὑπὸ φύσεως αὐτῷ δεδομένοις εἶχε, παρ' ἐκείνης λαβὼν, οὐδ' ὅλως ἂν ἦν ἐπ' αὐτῷ, τὸ εἶναι τοιούτῳ, ὥσπερ οὐδὲ τὸ εἶναι δίποδι ἢ λογικῷ· οὐδ' ἂν ἐπῃνεῖτο ἔτι ἐπὶ τῷ τοιοῦτος εἶναι, ἀλλ' ἐθαυμάζετο, ὡς ἔχων παρὰ τῆς θείας φύσεως δῶρον τηλικοῦτον. ὡς γὰρ τῶν ἐπαγνοούντων, ὅσοι μὲν ἀσθενεῖς ὄντες τὴν φύσιν διὰ τῆς οἰκείας ἐπιμελείας εἰσὶ τοιοῦτοι, τούτους μὲν ἐπαινοῦμεν, ὡς ἑαυτῶν πρόνοιαν τὴν προσήκουσαν ποιουμένους, δι' ἣν πρόνοιαν οὐκ εἰσὶν ἐν τῷ νοσεῖν· τοὺς δὲ ἐκ φύσεως ὑγιεινοὺς, καὶ μὴ νοσοῦντας ἄνευ πραγματείας καὶ φροντίδων, οὐκέτι μὲν ἐπαινοῦμεν: μακαρίζομεν δὲ ὡς χωρὶς καμάτων τοῦτο ἔχοντας, ὃ καὶ τοῖς ἄλλοις ἀγαπητὸν, εἰ καὶ μετὰ καμάτου παρείη. τὸν αὐτὸν τρόπον, εἰ καὶ μὴ ἔτι μᾶλλον, ἐπὶ τῶν ἀρετῶν ἐποιοῦμεν ἂν, εἰ ἦσαν ἐκ φύσεώς τισι παροῦσαι, ὅπερ ἀμέλει ποιοῦμεν ἐπὶ τῶν θεῶν. ἐπεὶ δὲ ἀδύνατον ἡμῖν τοῦτο, καὶ οὐδὲν ἀδύνατον δεῖ παρὰ τῆς φύσεως ἀπαιτεῖν· (αὕτη γὰρ δυνατῷ τε καὶ ἀδυνάτῳ

μέτρον

μέτρον· τελειότης μὲν γὰρ ἡ ἀρετὴ καὶ ἡ ἀκρότης τῆς οἰκείας φύσεως ἑκάστου) ἀδύνατον ἢ ἀτελές τι ὂν ἐν τελειότητι εἶναι, ἀτελὲς ἢ τὸ γινόμενον εὐθὺ γενέσθαι. οὐδὲ τὴν ἀρετὴν οἷόν τε τὸν ἄνθρωπον φῦναι· οὐ μὴν ἀσύμβολος ἡ φύσις αὐτῷ πρὸς τὴν κτῆσιν αὐτῆς, ἀλλ' ἔχει παρ' αὐτῆς δύναμίν τε καὶ ἐπιτηδειότητα δεκτικὴν αὐτῆς, ἣν οὐδὲν τῶν ἄλλων ζώων ἔχει, καὶ διὰ τήνδε τὴν δύναμιν ὁ ἄνθρωπος τῶν ἄλλων ζώων φύσει διαφέρει· καίτοι πολλῶν ζώων ἀπολειπόμενος, ἐν τοῖς σωματικοῖς πλεονεκτήμασιν. εἰ μὲν οὖν οὕτως ἔχομεν παρ' αὐτῆς τὴν δύναμιν, τὴν τῶν ἀρετῶν δεκτικὴν, ὡς προϊόντες τε καὶ τελειούμενοι, καὶ ταύτην λαμβάνειν, ὡς τὸ περιπατεῖν, ὡς τὸ ὀδόντας, ὡς τὸ γένεια φύειν, ὡς ἄλλο τι τῶν ἐπιγινομένων ἡμῖν κατὰ φύσιν· οὐδ' οὕτως ἂν ἐφ' ἡμῖν ἦσαν αἱ ἀρεταὶ, ὥσπερ οὐδὲ τῶν προειρημένων τι· ἐπεὶ μηδὲ τοῦτον τὸν τρόπον αὐτὰς κτώμεθα. εἰ μὲν γὰρ ἦν ὥσπερ τὰ ἄλλα, οὕτω δὲ καὶ φρόνησις τε καὶ ἀρετὴ τοῖς ἀνθρώποις συγγενῆ, πάντες ἂν, ἢ οἵ γε πλεῖστοι, ὥσπερ τῶν ἄλλων κατὰ φύσιν αὐτοῖς τυγχάνουσιν, οὕτως οὖν οὐ τὴν δύναμιν τὴν τῶν ἀρετῶν δεκτικὴν μόνην, ἀλλὰ καὶ τὰς ἀρετὰς αὐτὰς παρ' ἐκείνης ἂν εἴχομεν, καὶ οὐδὲν οὐδ' οὕτως ἂν ἔδει ἐπαίνων, ἢ ψόγων, ἢ τινος τῶν τοιούτων· ἐπὶ δὲ ταῖς ἀρεταῖς τε καὶ κακίαις, θειοτέραν πρόφασίν τε καὶ οὐσίαν τῆς παρουσίας αὐτῶν εἴχομεν. ἐπεὶ δ' οὐχ οὕτως ἔχει. οὐ γὰρ τοὺς πάντας, οὐδὲ τοὺς πλείστους ὁρῶμεν τὰς ἀρετὰς ἔχοντας, ὃ τῶν κατὰ φύσιν γινομένων σημεῖόν ἐστιν, ἀλλ' ἀγαπητὸν, ἕνα που λαβεῖν τοιοῦτον, ὃς δι'

ἀσκήσεώς τε καὶ διδασκαλίας, δείκνυσι, τὴν τῶν ἀνθρώπων πρὸς τὰ ἄλλα ζῶα φυσικὴν πλεονεξίαν, δι' αὐτοῦ προσληφθεὶς τὸ ἀναγκαῖον ἐνδέον ἡμῶν τῇ φύσει, διὰ τοῦτο ἐφ' ἡμῖν τε ἐστὶν ἡ τῶν ἀρετῶν κτῆσις· καὶ οὐκ ἄχρηστοι οὐδὲ μάτην, οὔτε οἱ ἔπαινοι, οὔτε οἱ ψόγοι, οὔτε πρὸς βελτίω προτροπαί, οὔθ' ἡ διὰ τῶν βελτιόνων ἐθῶν κατὰ τοὺς νόμους ἀγωγή. τῶν μὲν γὰρ φύσει τισὶν ὑπαρχόντων, οὐδὲν οἷόν τε ὑπό τινος ἔθους ἀλλοῖον γενέσθαι. οὐχ οὕτω πολλάκις τὸ βάρος ἔχον ἀναρριφθήσεται, ὡς ἐθισθῆναι κατὰ τὴν αὐτοῦ φύσιν ἄνω φέρεσθαι. τὰ δὲ ἤθη τῶν ἀνθρώπων ποιὰ καὶ ποιὰ διὰ τῶν διαφερόντων ἐθῶν γίνεται. καὶ ἐπὶ μὲν τῶν φύσει πρώτας τὰς ἕξεις κτησάμενοι, οὕτως ἐνεργοῦμεν κατ' αὐτάς. οὐ γὰρ ἰδόντες πολλάκις τὴν ὁρατικὴν ἕξιν κτώμεθα, ἀλλ' ἔχοντες αὐτὴν οὕτως ὁρῶμεν· ἐπὶ δὲ τῶν οὐ φύσει, ἐκ τῶν ἐνεργειῶν τὰς ἕξεις κτώμεθα. οὐ γὰρ ἄλλως τέκτων τις ἂν γένοιτο, μὴ πολλάκις ἐνεργήσας τὰς τοῦ τέκτονος ἐνεργείας κατὰ τὰς ὑποθήκας τοῦ διδάσκοντος. ὡς τ' ἐπεὶ καὶ τὰς ἀρετὰς οὕτω κτώμεθα (ἐνεργοῦντες γὰρ καὶ τὰ σωφρονικὰ γινόμεθα σώφρονες) οὐκ ἂν ἡμῖν ὑπάρχοιεν φύσει. οἱ δὲ φάσκοντες ἐξ ἀνάγκης ἡμᾶς εἶναί τε καὶ γίνεσθαι τοιούτους, καὶ μὴ καταλιπόντες ἡμῖν τὴν ἐξουσίαν τοῦ ταῦτα πράττειν τε καὶ μή, δι' ὧν ἂν τοιοῦτοι γενοίμεθα, καὶ διὰ τοῦτο μήτε τοῖς κακοῖς γινομένοις ἐξεῖναι μὴ ταῦτα πράττειν ἃ πράττοντες γίνονται τοιοῦτοι, μήτε τοῖς ἀγαθοῖς, πῶς οὐχ ὁμολογήσουσι κάκιστον γεγονέναι τῶν ζώων ἁπάντων ὑπὸ τῆς φύσεως τὸν ἄνθρωπον, δι' ὃν φασι πάντα τἆλλα γενέσθαι

νέσθαι, ὡς συντελέσοντα πρὸς τὴν τούτου σωτηρίαν; εἰ γὰρ ἡ μὲν ἀρετή τε καὶ ἡ κακία μόναι κατ' αὐτοὺς, ἡ μὲν ἀγαθὸν, ἡ δὲ κακὸν, καὶ οὐδὲν τῶν ἄλλων ζώων οὐδετέρου τούτων ἐστὶν ἐπιδεκτικὸν, τῶν δὲ ἀνθρώπων οἱ πλεῖστοι κακοὶ, μᾶλλον δὲ ἀγαθὸς μὲν εἷς, ἢ δεύτερος ὑπ' αὐτῶν γεγονέναι, μυθεύεται. ὥσπέρ τι παράδοξον ζῶον καὶ παρὰ φύσιν, σπανιώτερον τοῦ φοίνικος τοῦ παρ' Αἰθίοψιν. οἱ δὲ πάντες κακοὶ καὶ ἐπίσης ἀλλήλοις τοιοῦτοι, ὡς μηδὲν διαφέρειν ἄλλον ἄλλου. μαίνεσθαι δὲ ὁμοίως πάντας, ὅσοι μὴ σοφοὶ, πῶς οὐκ ἂν ἀθλιώτατον ζῶον πάντων ὁ ἄνθρωπος εἴη, ἔχων τήν τε κακίαν καὶ τὸ μαίνεσθαι, σύμφυτα αὐτῷ καὶ συγκεκληρωμένα; ἀλλὰ τὰ μὲν παρὰ τὰς δοξολογίας αὐτῶν τὰς ἐν τοῖς δόγμασιν ἐξετάζειν, δι' ὧν πρὸς τἀληθῆ διαφωνοῦσι, πλεῖστον παραιτητέον τοῦ νῦν· ἐπανιτέον δὲ, ὅθεν ἐξετραπόμεθα. ἐδείξαμεν δὲ, ὅτι οὕτως ἐπ' αὐτῷ τῷ φρονίμῳ τὸ εἶναι τοιούτῳ, ὅτι τῆς τοιαύτης ἐξετάσεως καὶ τῆς κλήσεως αὐτοῦ, αὐτὸς αἴτιος, τῷ καὶ τὸ μὴ γενέσθαι τοιοῦτος, ἔχειν πρότερον τὴν ἐξουσίαν· τὴν μὲν οὖν ἕξιν μηκέτ' ἔχειν ὡς ἐπ' αὐτῷ, ὥσπερ οὐδὲ τῷ αὐτὸν ἀπὸ ὕψους ἀφέντι τὸ στῆναι· καίτοι τοῦ ῥῖψαι τε καὶ μὴ τὴν ἐξουσίαν ἔχοντι· ἐπ' αὐτῶν δὲ τῶν ἐνεργειῶν, ὧν τὴν ἕξιν ἔχων ἐνεργεῖ, καὶ μὴ ποιῆσαί τινα. καὶ γὰρ, εἰ ὅτι μάλιστα εὔλογον, τὸ τὸν φρόνιμον κατὰ τὸν λόγον καὶ τὴν φρόνησιν ἐνεργείας ἐνεργεῖν, πρῶτον μὲν οὐχ ὡρισμένως αἵδε τινὲς τοιαῦται, ἢ μέχρι τοῦδε ἐνεργούμεναι, ἀλλ' ἔστιν ἐν πλάτει τινὶ πάντα τὰ γινόμενα τοῦτον τὸν τρόπον, καὶ τὸ παρὰ μικρὸν ἐν τούτοις οὐκ ἀναιρεῖ τὸ προκείμενον. ἔπειτα δὲ οὐ

κατηναγκασμένως ὁ φρόνιμος, ὧν αἱρεῖταί τι πράττειν, ἀλλ' ὡς καὶ τοῦ μὴ πρᾶξαί τι τούτων αὐτὸς ὢν κύριος. εὔλογον γὰρ ἂν δόξαι ποτὲ τῷ φρονίμῳ, καὶ ὑπὲρ τοῦ δεῖξαι τὸ τῶν ἐνεργειῶν ἐλεύθερον, καὶ μὴ ποιῆσαί ποτε τὸ λεγόμενον ἂν εὐλόγως ὑπ' αὐτοῦ, εἰ προείποι τις αὐτῷ μάντις ἐξ ἀνάγκης αὐτὸν τοῦτο πράξειν· τοῦτό τοι καὶ οἱ μάντεις εἶναι λέγουσί τε ὑφορώμενοι, φεύγοντες τοὺς παραπόδας ἐλέγχους, οὐδὲν πιστὸν λέγουσι τοῖς ἐλέγξαι δυναμένοις· ἀλλ' ὥσπερ τὸ τοὺς χρόνους ὁρίζειν τῶν προλεγομένων ὑπ' αὐτῶν ὡς ἐσομένων, ὡς εὐέλεγκτον, φυλάσσονται, οὕτω φεύγουσι καὶ τὸ λέγειν τι μαντεύεσθαι, τοῖς δυναμένοις παραχρῆμα τὸ ἀντικείμενον ποιῆσαι τοῦ μαντεύματος.

Τὸ δὲ λέγειν, εὔλογον εἶναι τοὺς θεοὺς τὰ ἐσόμενα προειδέναι, (ἄτοπον γὰρ τὸ λέγειν, ἐκείνους ἀγνοεῖν τι τῶν ἐσομένων) καὶ τοῦτο λαμβάνοντας, κατασκευάζειν πειρᾶσθαι δι' αὐτοῦ, τὸ πάντα ἐξ ἀνάγκης τε γίνεσθαι, καὶ καθ' εἱμαρμένην· οὔτε ἀληθὲς, οὔτε εὔλογον. τῆς μὲν γὰρ φύσεως τῆς τῶν πραγμάτων τοῦτο χωρούσης, οὐδένα μᾶλλον, εὐλογώτερον εἰδέναι τῶν θεῶν τὰ μέλλοντα. ἀδυνάτου δ' οὔσης τὴν τοιαύτην πρόρρησιν καὶ πρόγνωσιν δέχεσθαι, οὐδὲ τοὺς θεοὺς εὔλογον ἔτι γίνεται τὸ εἰδέναι τι τῶν ἀδυνάτων. τὰ γὰρ ἀδύνατα τῇ αὐτῶν φύσει, καὶ παρὰ τοῖς θεοῖς τὴν αὐτὴν φυλάττει φύσιν. ἀδύνατον γὰρ καὶ τοῖς θεοῖς, ἢ τὸ τὴν διάμετρον ποιῆσαι τῇ πλευρᾷ σύμμετρον, ἢ τὰ δὶς δύο πέντε εἶναι, ἢ τῶν γεγονότων τι μὴ γεγονέναι. οὐδὲ γὰρ τὴν ἀρχὴν βούλονται τὴν ἐπὶ τῶν ἀδυνάτων. οὕτω γὰρ ἦν ἐν τοῖς λέγο-

λεγομένοις δυσχωρία, οἷς ὁμοίως ἀδύνατον καὶ τὸ ἐν τῇ οἰκείᾳ φύσει ἔχον τὸ δύνασθαι γενέσθαι τε καὶ μή, ὡς ἐσόμενον πάντως, ἢ ὡς μὴ ἐσόμενον, οὕτω προειδέναι. εἰ γὰρ ἡ περὶ αὐτῶν περὶ αὐτῶν πρόγνωσις ἀναιρεῖ τὸ ἐν αὐτοῖς ἐνδεχόμενον, δῆλον ὡς εἰ σώζοιτο τοῦτο, ἀδύνατος ἂν ἡ περὶ αὐτῶν πρόγνωσις εἴη. ὅτι γὰρ καὶ εἰ κατὰ τούτους τοῦτο οὕτως ἔχει, δῆλον ἐκ τοῦ λαβόντας αὐτούς, ὅτι οἱ θεοὶ προγινώσκουσι τὰ μέλλοντα, δι' αὐτοῦ κατασκευάζειν, τὸ ἐξ ἀνάγκης αὐτὰ γίνεσθαι, ὡς οὐκ ἄν, εἰ μὴ οὕτω γίνοιτο προεγνωσμένων. εἰ δὲ τῇ τῶν θεῶν προγνώσει τε καὶ προαγορεύσει τὸ ἀναγκαῖον ἕπεται καὶ κατ' αὐτούς, εἰ μὴ τὸ ἀναγκαῖον ἐν τοῖς γινομένοις εἴη, οὐ γὰρ κατ' αὐτοὺς οἱ θεοὶ προγινώσκοιεν τὰ μέλλοντα, ὥστε καὶ αὐτοὶ τὴν ἀδυναμίαν τοῖς θεοῖς φυλάσσουσιν, εἴγε κατὰ ἀδυναμίαν χρὴ καὶ ἀσθένειαν λέγειν γίνεσθαι, τὸ τὰ ἀδύνατα μὴ δύνασθαι. οὐ δὴ τῷ θείῳ πλέον τι δύνασθαι διὰ τῆς προρρήσεως ἀνάπτουσιν, ἀλλὰ διὰ τοῦ προλαμβάνειν τοῦτο, τὴν φύσιν τῶν πραγμάτων τοιαύτην εἰσάγουσιν, οὐδαμῶς ἀκόλουθα καὶ σύνῳδα τοῖς γινομένοις τε καὶ ἐναργέσι λέγοντες. τούτων γὰρ προσκεχρημένους, ἐνέσται πάντα τὰ ἀδύνατα δεικνύναι, τῷ εὔλογον εἶναι μὴ ἀγνοεῖν αὐτὰ τοὺς θεούς. δύναται γάρ τις λαβών, τὸ ἄτοπον εἶναι, τοὺς θεοὺς μὴ εἰδέναι τὸ ἄπειρον, πόσων ἐστὶ θέμενος μέτρων, τούτῳ προσλαμβάνειν τὸ ἀδύνατον εἶναι γινώσκεσθαι τὸ ἄπειρον πόσων ἐστὶ μέτρων. εἰ δὲ τοῦτο ἀδύνατον, εἶναι τὸ ἄπειρον ὡρισμένων τινῶν μέτρων. εἰ γὰρ μὴ ἦν οὕτως, οὐδ' ἂν οἱ θεοὶ ᾔδεσαν, αὐτὸ πόσων ἐστὶ μέτρων.

ἐπεὶ δὲ εἰ τὸ προγινώσκειν τὰ μέλλοντά ἐστι, καὶ ὁποῖά ἐστι
τοιαῦτα αὐτὰ γνωρίζειν ὄντα, (ἄλλο γὰρ τὸ προγινώσκειν
τοῦ ποιεῖν) δῆλον ὅτι τὰ ἐνδεχόμενα προγινώσκων, ὡς
τοιαῦτα προγνώσεται. οὐ γὰρ πρόγνωσις, τὸ τὸ ἐνδεχό-
μενον ὡς ἐσόμενον ἀναγκαίως ἔσεσθαι λέγειν. ὥστε καὶ οἱ
θεοὶ τὰ ἐνδεχόμενα, ὡς ἐνδεχόμενα ἂν προγινώσκοιεν·
ᾧ οὐ πάντως ἀκολουθήσει τὸ ἀναγκαῖον, διὰ τὴν τοιαύ-
την πρόγνωσιν. οὕτω δὲ καὶ προλεγόντων ἀκούομεν. οἱ
γὰρ μετὰ τοῦ συμβουλεύειν, ἵνα αἱρεῖσθαί τε καὶ πράττειν,
ἃ χρὴ προλέγοντες, οὐχ ὡς ἐξ ἀνάγκης ἐσομένων περὶ
οὗ προλέγουσιν. Καθόλου δὲ, εἰ μὲν πάντα τοῖς θεοῖς δυ-
νατά φασιν εἶναι, ἔσται δὲ καὶ τὰ ἀδύνατα ἐκείνοις δυνα-
τά· οὐ μὴν δειχθήσεται διὰ τῆς ἐκείνων περὶ τῆς τῶν μελ-
λόντων προγνώσεως τὸ πάντα ἐξ ἀνάγκης τὰ γινόμενα γί-
νεσθαι. εἰ δὲ συγχωροῦσι τὰ ἀδύνατα καὶ τοῖς θεοῖς εἶναι τοι-
αῦτα· πρῶτον μὲν αὐτοὺς χρὴ δεικνύναι δυνατὸν εἶναι τὴν
τοιάνδε πρόγνωσιν· εἶθ' οὕτως αὐτὴν ἀνατιθέναι τοῖς θεοῖς.
οὔτε γὰρ ἐναργὲς, οὔτε ὑπὸ τῶν γινομένων ὁμολογούμενον
τὸ τοιαύτην τὴν περὶ τῶν μελλόντων πρόγνωσιν ποιεῖσθαι τοὺς
θεούς. ἡμεῖς μὲν οὖν οὔτε ἀναιροῦμεν μαντικὴν, οὔτε τὴν
πρόγνωσιν τῶν θεῶν, ὡς ἔχει φύσεως τὰ πράγματα, οὕτως
αὐτοὺς περὶ αὐτῶν προλέγειν λέγοντες· ἀλλ' οὐδὲ ἀφαιρού-
μεθα τῶν ἀνθρώπων, τὸ ἀπὸ μαντικῆς χρήσιμον, ὅτι γίνε-
ται τοῦ δύνασθαί τινα καὶ φυλάξασθαί τι, μὴ φυλαξά-
μενον ἂν, μὴ συμβουλεύσαντος τοῦ θεοῦ διυμνοῦντες τὴν
μαντικὴν, καὶ κατὰ τὸν αὐτοῦ λόγον μόνον σώζεσθαι λέγοντες
αὐτήν,

αὐτὴν, καὶ ταύτῃ πίστει τοῦ πάντα καθ' εἱμαρμένην γίνεσθαι χρώμενοι, πρὸς τῷ μηδὲν ἀληθὲς λέγειν, προσέτι καὶ ἄτοπά τινα καὶ ἀλλότρια παντάπασι θεῶν περὶ αὐτῶν τολμῶσι λέγειν. πῶς γὰρ οὐκ ἄτοπα τὰ περὶ αὐτῶν ὑπ' αὐτῶν λεγόμενα; ἀπορούντων γάρ τινων πρὸς αὐτοὺς, τί δήποτε, εἰ πάντα τὰ γινόμενα ἐξ ἀνάγκης γίνεται, αἱ παρὰ τῶν θεῶν μαντεῖαι μὲν γίνονται συμβουλαῖς ἐοικυῖαι, ὡς δυναμένων, διὸ ἤκουσαν, καὶ φυλάξασθαί τι καὶ ποιῆσαι τῶν ἀκουσάντων· καὶ δὴ καὶ τὸν τῷ Λαΐῳ δοθέντα χρησμὸν, παραδεχομένων, δι' οὗ λέγει πρὸς αὐτὸν ὁ Πύθιος περὶ τοῦ μὴ δεῖν παιδοποιεῖσθαι,

εἰ γὰρ φυτεύσεις παῖδ', ἀποκτενεῖ σ' ὁ παῖς,
καὶ πᾶς σὸς οἶκος βήσεται δι' αἵματος,

φασὶν, ὡς κηρύττει τὰ συγγράμματα αὐτῶν, οὕτως αὐτὸν χρῆσαι, οὐχ ὡς οὐκ εἰδότα, ὅτι μὴ πεισθήσεται (παντὸς γὰρ μᾶλλον ᾔδει) ἀλλ' ὅτι μηδὲν μὲν αὐτοῦ τοιοῦτον χρήσαντος, οὐδὲν ἔμελλε τῶν κατὰ τὴν περιπέτειαν τὴν περὶ τὸν Λαΐόν τε καὶ τὸν Οἰδίπουν γινομένων γίνεσθαι. οὔτε γὰρ ἂν ἐξέθηκεν ὁ Λάϊος τὸν γινόμενον αὐτῷ παῖδα, ὡς ἐξέθηκεν, οὔτε ἀναιρεθεὶς ὁ παῖς ὑπὸ τοῦ βουκόλου, καὶ δοθεὶς πρὸς εἰσποίησιν τῷ Κορινθίῳ Πολύβῳ, ἀνδρωθεὶς καὶ περιτυχὼν τῷ Λαΐῳ κατὰ τὴν ὁδὸν, ἀγνοῶν τε καὶ ἀγνοούμενος ἀπέκτεινεν αὐτόν. οὐ γὰρ ἄν ποτε ὡς υἱὸς ἔνδον παρ' αὐτῷ τρεφόμενος ἠγνόησε τοὺς γονεῖς, ὡς τὸν μὲν αὐτῶν ἀποκτεῖναι, τὴν δ' ἀγαγέσθαι πρὸς γάμον. ὅπως οὖν ταῦτα πάντα

σωθῇ καὶ

σωθῇ καὶ πληρωθῇ τὸ τῆς εἱμαρμένης δρᾶμα, φαντασίαν ὁ θεὸς διὰ τοῦ χρησμοῦ τῷ Λαΐῳ παρέχειν, ὡς δυναμένῳ φυλάξασθαι τὰ λεγόμενα, καὶ ἐπεὶ μεθυσθεὶς ἐπαιδοποίησεν, ἐξέθηκε τὸ γενόμενον παιδίον, ὡς διαφθερῶν, ἥτις ἔκθεσις αἰτία τῶν ἀνοσίων μύθων ἐγένετο. εἴποι τις ταῦτα λέγων, πῶς ἢ σώζει μαντικήν, ἢ περὶ θεῶν εὐσεβείας διδάσκει προλήψεις, ἢ χρήσιμόν τι δείκνυσιν ἔχουσαν τὴν μαντικήν; ἡ μὲν γὰρ μαντική, δοκεῖ τῶν μελλόντων προαγόρευσις εἶναι. οἱ δὲ τὸν Ἀπόλλω, ποιητὴν ὧν προαγορεύει ποιοῦσιν. ὁ γὰρ οὐκ ἂν οὕτως ἐγένετο μὴ τοῦτον τὸν τρόπον χρήσαντος τοῦ θεοῦ, καὶ διὰ τοῦτο οὕτως ἔχρησεν, ὅπως γένηται τὰ ἐπ' αὐτοῖς γενόμενα, πῶς οὐκ ἔργα τοῦ χρήσαντος, ἀλλ' οὐ μήνυσις τῶν ἐσομένων; ἀλλ' εἰ καὶ δεῖ πλέον τι τῶν ἄλλων μάντεων ἔχειν τοὺς θεοὺς, ὡς καὶ συμπράσσειν τοῖς ἐσομένοις πρὸς τὸ γίνεσθαι συνεργούμενον. καὶ γὰρ οἱ ποιηταὶ τοῦτό γε περὶ θεῶν ὑμνοῦντες διατελοῦσιν, ὅτι ἄρα εἰσὶ δωτῆρες ἐάων. κατὰ δὲ τὰ ὑπὸ τούτων λεγόμενα, εἰς ἀγαθὸν μὲν οὐδὲν ὁ Πύθιος τῷ Λαΐῳ συντελεῖ, ἀγωνίζεται δὲ, καὶ πάντα πράττει, πρὸς τὸ μηδὲν τῶν ἀνοσιωτάτων τε καὶ ἀσεβεστάτων παρελθεῖν τὸν οἶκον αὐτοῦ· ὧν ἀκούσας τις, οὐκ ἂν εὐσεβεστέραν εἴποι τὴν λεγομένην ὑπὸ τῶν περὶ Ἐπίκουρον ἀπρονοησίαν τῆς τοιαύτης προνοίας; πῶς δὲ σύμφωνα ἀλλήλοις, τὸ ὁμοῦ μὲν θεὸν λέγειν τὴν εἱμαρμένην, καὶ χρῆσθαι τοῖς οὖσί τε καὶ γινομένοις ἐν τῷ κόσμῳ ἐπὶ σωτηρίᾳ αὐτοῦ τε τοῦ κόσμου, καὶ τῆς ἐν αὐτῷ τάξεως, ὁμοῦ δὲ τοιαῦτα περὶ αὐτοῦ λέγειν, ὡς παραλαμβάνει πρὸς τὰς πράξεις, τὰς

ξεις τὰς ἀνοσιωτάτας διὰ τὴν περὶ αὐτὰ σπουδὴν καὶ τὸν Πύθιον συνεργόν; ἐπὶ τίνων γὰρ σωτηρίᾳ ἐροῦσι χρῆσθαι τὴν εἱμαρμένην, πατέρα μὲν ὑπὸ παιδὸς ἀναιρεθῆναι, καὶ γάμῳ μητρὸς καὶ παιδὸς ἀνοσίῳ, καὶ γενέσει παίδων ἀδελφῶν, καὶ πατρί; τί τῆς ἐν κόσμῳ διοικήσεως ἐκ τούτων ἔχειν εὔλογον τὴν σωτηρίαν, ὡς καὶ τὸν Ἀπόλλω φοβεῖσθαι, μή τι παρέλθῃ τούτῳ ἄπρακτον; πότερον ἐμπόδια μὴ γινόμενα τῇ τῶν ἀνθρώπων κατὰ πόλεις τε καὶ νόμους οἰκήσει, ἢ τῇ τῶν στοιχείων τοῦ κόσμου σωτηρίᾳ, ἢ τῇ τῶν θείων εὐτάκτῳ τε καὶ ἀϊδίῳ περιφορᾷ, ἢ τινὶ τῶν, ἐξ ὧν τὸν κόσμον συνεστάναι τε καὶ διοικεῖσθαι κατὰ λόγον συμβέβηκεν; δῆλον δ' ὅτι κἂν ἄλλον τινὰ μῦθον πάλιν ἀκούσωσι παρά τινος τῶν τραγῳδοποιῶν, οἷς ἔργον τὰ τοιαῦτα πλάσματα, ἢ γυναῖκά τινα διὰ ζηλοτυπίαν ἐπιβουλεύουσαν μὲν ἀλλοτρίοις τέκνοις, ἀποκτείνασαν δὲ τὰ ἑαυτῆς, ἢ Θυέστην τινὰ δυστυχῆ γέροντα τῶν σαρκῶν τῶν παίδων αὐτοῦ ἐσθίοντα, Ἀτρέως τινὸς ἀδελφοῦ τοιαύτην παραθέντος αὐτῷ τράπεζαν· πιστεύουσι δὲ τοῖς μύθοις ὡς γεγονόσι, καὶ τὴν εἱμαρμένην τε καὶ πρόνοιαν δι' αὐτῶν κατασκευάζουσιν· ὥσπερ ἔργον ποιούμενοι, ἃ βούλονται κατασκευάζειν, δι' αὐτῶν τῶν κατασκευῶν ἀναιρεῖν. καί τοι μακρῷ βέλτιον ἦν καὶ εὐγνωμονέστερον, ἀναιρεῖν τὰς ὑποθέσεις διὰ τὴν τῶν ἑπομένων αὐταῖς ἀτοπίαν, ἢ τοῖς οὕτως ἀτόποις διὰ τὰς ὑποθέσεις παρίστασθαι. οἱ δὲ, καὶ πιστεύουσι τοῖς ἀτοπωτάτοις ῥᾳδίως, καὶ τοῦ κατὰ λόγον αὐτὰ γενέσθαι, αἰτίας τινὰς λέγειν οὐκ ὀκνοῦσιν. ἀλλὰ

τῶν μὲν τοιούτων ἄλις. ἱκανὸν γὰρ ἐφ' ἑκάστου, τὸ ἐνδείξασθαι τὴν τῆς δόξης ἀτοπίαν. ἱκανῶς δ' οἶμαι δεδηλῶσθαι πῶς λέγεται τὸ ἐπὶ τῷ φρονίμῳ εἶναι τὸ φρονεῖν, καίτοι μὴ δυναμένῳ οὐ φρονεῖν. οὐ γάρ, ὅτι νῦν, ὅτε ἐστὶ φρόνιμος, ἐπ' αὐτῷ, τὸ εἶναι τοιούτῳ, (τὴν γὰρ ἂν καὶ τοῦ νῦν μὴ φρονεῖν κύριος) ἀλλ' ὅτι πρὸ τοῦ τοιοῦτος γενέσθαι εἶχεν, ὥσπερ δὲ τοῦ γενέσθαι, οὕτω δὲ καὶ τοῦ μὴ γενέσθαι τοιοῦτος τὴν ἐξουσίαν· διὰ τὴν προειρήκαμεν αἰτίαν, πρὸς τὸ γενέσθαι τοιοῦτος, συνήργησεν αὐτῷ. ἐπὶ δὲ τῶν θεῶν, οὐκέτι ἂν τὸ εἶναι τοιούτοις, ὅπερ τὴν καὶ αὐτὸ ἐν τοῖς ὑπ' αὐτῶν ἀπορουμένοις. ὅτι γάρ ἐστιν αὐτῶν ἐν τῇ φύσει τοιοῦτον. οὐδὲν δὲ τῶν οὕτως ὑπαρχόντων, ἐπ' αὐτῷ. διὰ τοῦτο γὰρ τὰ μὲν ἐκείνων ἀγαθὰ τίμιά τε καὶ μακαριστὰ μεῖζόν τι τῶν ἐπαινετῶν ἀγαθῶν ἔχοντα· ὅτι τὴν ἀρχὴν ἡ φύσις αὐτῶν ἀνεπίδεκτός ἐστιν· ἡμεῖς δὲ ἐπὶ τῇ κτήσει τῶν ἀρετῶν ἐπαινούμεθα, ὅτι τῆς φύσεως ἡμῶν ἐπιδεκτικῆς οὔσης καὶ τοῦ χείρονος, οὐκ ὠκνήσαμεν πρὸς τὰ βελτίω· καὶ τῶν μὲν χειρόνων ἀνιδρωτὶ καὶ χωρὶς καμάτων περιγίνεσθαι δοκούντων, τῆς δὲ ἀρετῆς μετὰ πόνων τε καὶ μετὰ καμάτων, καὶ πολλῶν ἱδρώτων. ἔχει μέντοι καὶ ὁ φρόνιμος ἐπὶ τῶν καθέκαστα πράξεων, τοῦ καὶ μὴ πράττειν αὐτὰς τὴν ἐξουσίαν, εἴ ποτε κἀκείνοις πράξεις τινὲς γίνοιντο, περὶ τὰ ἐνδεχόμενα καὶ ἄλλως ἔχειν. οὐ γὰρ ἀφῄρηται τὴν ἐξουσίαν, οὔτε ὁ Πύθιός του, τοῦ αὐτῷ χρῆσθαί τε καὶ μή, οὔτε ὁ Ἀσκληπιὸς τοῦ περιΐστασθαι. πάντες γοῦν σχεδὸν ἄνθρωποι καταφεύγουσιν ἐπ' αὐτόν, ἔνθα ἂν ἐπιφανέστατος ᾖ.

πεπι-

πεπιστευκότες ὅτι τοῖς σπουδάζουσιν αὐτὴν ἔχειν ἰατρὸν, μᾶλλον τῶν οὐ σπουδαζόντων ἐπιδίδωσιν αὐτήν. τὸ δὲ λέγειν, ἡγεῖσθαι τοὺς οὐχ ἡγουμένους ἐν τῷ σώζεσθαι τὴν καθ' ὁρμὴν τῶν ζώων ἐνέργειαν, ἤδη σώζεσθαι καὶ τὸ ἐφ' ἡμῖν, τῷ μὴ πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς ὁρμῶσιν εἶναι, καὶ διὰ τοῦτο ἐρωτᾶν, εἰ μὴ τῶν ἐνεργημάτων τὰ μὲν εἶναι δοκεῖ καθ' ὁρμὴν, τὰ δ' οὐ καθ' ὁρμὴν, ὃ λαβόντας πάλιν προσθεῖναι τούτῳ, τὸ μήτε τῶν ἐνεργημάτων μὲν, μὴ καθ' ὁρμὴν δὲ εἶναί τι ἐφ' ἡμῖν, οὐκ αὐτοῦ συγχωρουμένου, ἐπὶ τούτοις λαμβάνειν, τὸ πᾶν τὸ καθ' ὁρμὴν γινόμενον ἐπὶ τοῖς οὕτως ἐνεργοῦσιν εἶναι, ἐπειδὴ ἐν μηδενὶ τῶν ἄλλως ἐνεργουμένων ἐστὶ, καὶ διὰ τοῦτο λέγειν, σώζεσθαι κατ' αὐτοὺς, καὶ τὸ τοιοῦτον ἐφ' ἡμῖν, ὃ δυνατὸν ὑφ' ἡμῶν γενέσθαί τε καὶ μή· εἶναι δὴ καὶ τὰ οὕτω γινόμενα ἐν τοῖς καθ' ὁρμὴν γινομένοις· ἔστι πῶς οὐ παντάπασιν ἀγνοούντων ταῦτα, πρὸς ἃ ποιοῦνται τοὺς λόγους; οὐ γὰρ εἰ ἐν τοῖς καθ' ὁρμὴν ἐνεργουμένοις τὸ ἐφ' ἡμῖν εἶναι συγκεχώρηται διὰ τοῦ λόγου, ἤδη πᾶν τὸ καθ' ὁρμὴν ἐνεργούμενον ἐφ' ἡμῖν. ταῦτα γὰρ μόνα τῶν καθ' ὁρμὴν γινομένων τὸ ἐφ' ἡμῖν ἔχει, ὅσα κατὰ λογικὴν ὁρμὴν ἐνεργεῖται. λογικὴ δ' ἐστὶν ὁρμὴ, ἐν τοῖς βουλευτικοῖς τε καὶ προαιρετικοῖς γινομένη· τουτέστιν ἡ τῶν ἀνθρώπων, ὅταν ἐπὶ τούτοις γίνηται. τῶν γὰρ ἄλλων ζώων, αἱ καθ' ὁρμὴν ἐνέργειαι, οὐ τοιαῦται, ὅτι μηκέτ' ἐν ἐκείνοις ἐξουσία τοῦ καὶ μή τι ποιῆσαι τὸ καθ' ὁρμὴν ἐνεργούμενον. διὸ ἐν ταῖς καθ' ὁρμὴν ἐνεργείαις τὸ ἐφ' ἡμῖν· οὐ μὴν διὰ τοῦτο πᾶσα καθ' ὁρμὴν ἐνέργεια γινομένη τὸ ἐφ'

ἡμῖν ἔχει. πῶς δ' οὐκ ἀγνοούντων τὰ ὑφ' αὐτῶν γινόμενα, τὸ τῇ ἀληθείᾳ τῶν γινομένων, ἣν ἀναιροῦσι διὰ τοῦ δόγματος, αὐτὴν πρὸς τὸ κεχρῆσθαι πρὸς κατασκευὴν τοῦ ἀναιροῦντος αὐτὴν δόγματος; λαβόντες γὰρ τὸ ἕκαστον τῶν συνεστώτων φύσει καθ' εἱμαρμένην εἶναι τοιοῦτον, ὁποῖόν ἐστι, ὡς ταὐτοῦ ὄντος τοῦ τε φύσει καὶ τοῦ καθ' εἱμαρμένην, προστιθέασι τὸ οὐκοῦν κατὰ τὴν εἱμαρμένην καὶ αἰσθήσεται τὰ ζῷα καὶ ὁρμήσει, καὶ τὰ μὲν τῶν ζῴων ἐνεργήσει μόνον, τὰ δὲ πράξει τὰ λογικά, καὶ τὰ μὲν ἁμαρτήσεται, τὰ δὲ κατορθώσει; ταῦτα γὰρ τούτοις κατὰ φύσιν μενόντων, τῶν δὲ καὶ ἁμαρτημάτων καὶ κατορθωμάτων, καὶ τῶν τοιούτων φύσεων καὶ ποιοτήτων μὴ ἀγνοουμένων, καὶ ἔπαινοι καὶ ψόγοι, καὶ κολάσεις καὶ τιμαί· ταῦτα γὰρ οὕτως ἔχει ἀκολουθίας τε καὶ τάξεως, οὐ μὴν ἀκολουθεῖ ἔτι, ταῦτα τοῦτον γίνεσθαι τὸν τρόπον, τοῖς τὴν φύσιν τε καὶ τὰ γινόμενα κατὰ φύσιν, εἰς τὴν εἱμαρμένην τε καὶ τὴν ἀνάγκην μεταφέρουσιν. κατὰ φύσιν μὲν γὰρ τοῖς πρακτικοῖς τε καὶ λογικοῖς ζῴοις, τὸ καὶ ἁμαρτάνειν καὶ κατορθοῦν δύνασθαι, τῷ μηδέτερον αὐτῶν ποιεῖν κατηναγκασμένως. καὶ τοῦτ' ἀληθές ἐστι, καὶ τοῦτον ἔχει τὸν τρόπον· οὐ μέν τοι γε τοῖς πάντα, ἃ ποιοῦμεν ἐξ ἀνάγκης ἡμᾶς ποιεῖν λέγουσιν· ἔπειτα τοῦ μὲν κατορθοῦν τῶν λογικῶς ἐνεργούντων, τοῦ δ' ἁμαρτάνειν. ἐξ ἀνάγκης δὲ πάντα ποιοῦμεν, καθ' οὓς ἀδύνατον μετὰ τῶν δέ τινων περιεστώτων μὴ πράσσειν ἡμᾶς. τὰ δ' ἐξ ἀνάγκης ἡμᾶς ἀεὶ περιστήσεται ταῦτα, δι' ἃ πράσσομεν. οὐ γὰρ τὸ ὁπωσοῦν χαίρειν ποιοῦντα κατορθοῦν

κατορθοῦν

τορθοῦν τις λέγοι, ἀλλ' οὐδ' ἁμαρτάνειν τὸν ὁπωσοῦν φαῦλόν τι πράττοντα· ἀλλ' ὁπωσοῦν ἐν ἐξουσίᾳ τις ὢν τῶν χειρόνων αἱρεῖται καὶ πράσσει ἢ τὰ βελτίω, τοῦτον λέγομεν κατορθοῦν. τὸν γοῦν τὰ αὐτὰ ταῦτα ἀπὸ τύχης ποιήσαντα, οὐκέτι λέγομεν κατορθοῦν, ὡς τοῦ κατορθοῦν τὴν κρίσιν, οὐκ ἀπὸ τῶν πραττομένων ἔχοντος μόνον, ἀλλὰ πολὺ πρότερον ἀπὸ τῆς ἕξεώς τε καὶ δυνάμεως, ἀφ' ἧς πράσσεται. καὶ ὁ αὐτὸς λόγος ἐπὶ τῶν ἁμαρτημάτων· ἡμῶν δὲ ἡ ἐξουσία τοῦ πράττειν ἄλλα τινά, παρ' ἃ πράττουσιν, ὑπὸ τῶν περιεστώτων ἀφῄρηται, οὐδὲν αὐτοῖς συντελοῦσα, εἰς τὸ τὰ αὐτοῖς περιεστῶναι, δι' ἃ πράττουσιν, πῶς ἂν ἔτι τούτους τις ἢ ἁμαρτάνειν, ἢ κατορθοῦν λέγοι; οὔτε γὰρ τῆς τοιαύτης ἕξεως, ἀφ' ἧς τῶνδέ τινων περιεστώτων, περὶ τὸ τάδε τινὰ πράττειν ὁρμὴν γίνεται, αὐτός ἐστιν ἐν ἐξουσίᾳ, οὔτε τοῦ τὰ περιεστῶτα τοιαῦτα εἶναι. διὰ τοῦτο γὰρ τῶν ἀλόγων ζώων οὐδέν, τούτων κατηγορεῖται· ἀγόμενος δὲ ἐπὶ τὸ πράττειν ὑπό τε ἕξεως καὶ περιστάσεων τινῶν, μηδενὸς κύριος αὐτὸς τοῦ μὴ τοῦτιν ἔχειν τὸν τρόπον, οὐδ' ἂν ἁμαρτάνειν ἔτι, ἢ κατορθοῦν ἐπὶ τοῖς οὕτω πραττομένοις λέγοιτο.

Ἐπεὶ δὲ οἵ τε ἔπαινοι καὶ ψόγοι, κολάσεις τε καὶ τιμαί, ἐπὶ τοῖς ἁμαρτήμασί τε καὶ κατορθώμασιν, ὡς καὶ αὐτοὶ λέγουσιν, δῆλον ὡς ἀναιρουμένων τούτων, ἀναιροῖτ' ἂν κἀκείνων ἕκαστον. τὸ δὲ κατορθοῦν ἐπὶ τῶν θεῶν, οὐ κυρίως ἂν λέγοιτο, ἀλλ' ὡς ἴσον τῷ τὰ ἀγαθὰ ποιεῖν, εἴγε ἐν οἷς μὲν τὸ κατορθοῦν, ἐν τούτοις καὶ τὸ ἁμαρτάνειν· ἀνεπίδεκτον δὲ ἁμαρτημάτων τὸ θεῖον. διὰ τοῦτο γὰρ οὐ-

ἢ ἐπαινοῦμεν τοὺς θεοὺς, ὅτι κρείττους εἰσὶν, * οὐ κατ' ἐπαίνους, καὶ τὰ ἐφ' οἷς οἱ ἔπαινοι κατορθώματα.

Μηδὲ ἐκεῖνον ἢ παραλείπωμεν τὸν λόγον, ᾧ θαῤῥοῦσιν, ὡς δεικνῦναι δυναμένου τῶν προκειμένων τί. λέγουσι γάρ. οὐ γάρ ἐστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ πεπρωμένη· οὐκ ἔστι δὲ αἶσα· οὐδέ ἐστι μὲν αἶσα, οὐκ ἔστι δὲ νέμεσις· οὐδέ ἐστι μὲν νέμεσις, οὐκ ἔστι δὲ νόμος· οὐδέ ἐστι μὲν νόμος, οὐκ ἔστι ἢ λόγος ὀρθὸς, προστακτικὸς μὲν τῶν ποιητέων, ἀπαγορευτικὸς δὲ τῶν οὐ ποιητέων, ἀλλὰ ἀπαγορεύεται μὲν τὰ ἁμαρτανόμενα, προστάττεται δὲ τὰ κατορθώματα. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ ἁμαρτήματα καὶ κατορθώματα. ἀλλ' εἰ ἔστιν ἁμαρτήματα καὶ κατορθώματα, ἔστιν ἀρετὴ καὶ κακία· εἰ δὲ ταῦτα, ἔστι καλὸν καὶ αἰσχρόν. ἀλλὰ τὸ μὲν καλὸν ἐπαινετὸν, τὸ δὲ αἰσχρὸν ψεκτόν. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ ἐπαινετὸν καὶ ψεκτόν. ἀλλὰ τὰ μὲν ἐπαινετὰ τιμῆς ἄξια, τὰ δὲ ψεκτὰ κολάσεως. οὐκ ἄρα ἔστι μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι δὲ τιμὴ καὶ κόλασις. ἀλλ' ἔστι μὲν τιμὴ γέρως ἀξίωσις· ἡ δὲ κόλασις ἐπανόρθωσις. οὐκ ἄρα ἐστὶ μὲν τοιαύτη ἡ εἱμαρμένη, οὐκ ἔστι γέρως ἀξίωσις καὶ ἐπανόρθωσις. εἰ δὲ ταῦτα ἀπείρηται μὲν εἶναι, πάντων γινομένων καθ' εἱμαρμένην, κατορθώματά τε καὶ ἁμαρτήματα, καὶ τιμαὶ καὶ κολάσεις, καὶ γέρως ἀξιώσεις, καὶ ἔπαινοι καὶ ψόγοι. ἀλλὰ ταῦτά γε εἰ μὲν ὑπό τινων αἰτίων περιεστώτων αὐτοῖς οὕτως ἀναγκάζονται λέγειν, συγγινώσκειν αὐτοῖς ἄξιον, καὶ οὐδὲν δεῖ οὔθ' ἡμᾶς

περὶ τῶν ὑπ' ἐκείνων κατ' ἀνάγκην λεγομένων πολυπραγμονεῖν· οὔτε ἐκείνους, περὶ τῶν οὐχ ὁμοίως αὐτοῖς λεγόντων. ἑκάστοις γὰρ τῶν λεγομένων τε καὶ δοξαζόντων τινὰ, ἡ τῶν προεστώτων δύναμις. καὶ οὐδὲν δεῖ τοὺς λέγοντας αἰτιᾶσθαι, οὐδὲν εἰς τὸ οὕτω λέγειν συντελοῦντας, εἴγε μήτε τῶν προεστώτων, μήτε τῆς ἕξεως, καθ' ἣν ὑπὸ τῶν προεστώτων οὕτως αὐτὴν κινεῖσθαι συμβέβηκεν, τὴν αἰτίαν ἔχουσιν ἐν αὐτοῖς. εἰ δὲ ἐξουσίαν ἔχομεν καὶ χεῖρόν τι καὶ βέλτιον εἰπεῖν, τίς οὐκ ἂν αὐτῶν θαυμάσαι τὴν σύνθεσιν τοῦ λόγου, ὡς ἀπέριττον, καὶ ἐξ ὁμολογουμένων καὶ ἐναργῶν συνάγουσαν τὸ μὴ δεῖν; ὧν ἦν τὸ, ἄρα, τῆς περὶ τοὺς συλλογισμοὺς ἀσχολίας μακρᾶς. θέμενοι γὰρ τὸ τὴν εἱμαρμένην χρῆσθαι πᾶσι τοῖς γεγονόσι τε καὶ γινομένοις καθ' εἱμαρμένην πρὸς τὴν ἀκώλυτον τῶν ὑπὸ αὐτῆς γινομένων ἐνέργειαν, οὕτως ὡς γέγονεν ἕκαστον αὐτῶν καὶ φύσεως ἔχει, λίθῳ μὲν ὡς λίθῳ, φυτῷ δὲ ὡς φυτῷ, ζώῳ δὲ ὡς ζώῳ. εἰ δὲ ὡς ζώῳ, καὶ ὁρμητικῷ ἐν τῷ τιθέναι τὸ χρῆσθαι αὐτὴν τῷ ζώῳ, ὡς ζώῳ τε καὶ ὁρμητικῷ, καὶ γίνεσθαι τὰ ὑφ' αὐτῶν διὰ τῶν ζώων γινόμενα κατὰ τὴν τῶν ζώων ὁρμήν. ἑπομένων καὶ τούτων τῶν ἐξ ἀνάγκης προεστώτων αὐτὰ τότε αἰτίοις, ἅ τινα ἂν ἡγούμενοι διὰ τοῦ τὸ καθ' ὁρμὴν ἐνεργεῖν τὰ ζῷα τηρεῖν ἐν τῷ ἅπαντα γίνεσθαι καθ' εἱμαρμένην, καὶ τὸ ἐφ' ἡμῖν εἶναί τι τηρεῖν, τούς τε ἄλλους οὓς ἐρωτῶσι λόγους καὶ δὴ καὶ τὸν προειρημένον, ἐμοὶ δοκεῖ, ὡς οὐκ ἀληθεῖ πιστεύοντες τοσοῦτον αὐτῷ, ὅσον διὰ μῆκος τὲ καὶ πλῆθος ὀνομάτων, καὶ ἀσαφῆ σύνθεσιν παράξειν

ἡγού-

ἡγούμενοι, οὐκ ἀκούοντας. ἴδωμεν δὲ τὸ λεγόμενον ἡμεῖς διὰ τούτων περὶ τὰ πολλὰ τῶν κειμένων ὀνομάτων παραιτησάμενοι τὸ νῦν, τὴν δὲ πεπρωμένην καὶ τὴν αἶσαν καὶ τὴν νέμεσιν ὑφελόντες, οἷς ὀνόμασιν ἐφ' ὧν αὐτοῖς δοκεῖ σημαινομένων χρῶνται, ἐπὶ τῶν ἄλλων ἐξετάσωμεν. ἄξιον γὰρ μαθεῖν τὴν ἀνάγκην τῆς ἀκολουθίας ταύτης. οὐ γάρ ἐστι μὲν τοιαύτη ἡ εἱμαρμένη. οὐκ ἔστι γὰρ νόμος. εἰ γὰρ τὰ μὲν γινόμενα καθ' εἱμαρμένην ἕπεται τοῖς ἐξ ἀνάγκης αὐτὰ περιεστῶσιν αἰτίοις, καὶ οὐχ οἷόν τε τὸν καθ' ὁρμὴν ἐνεργοῦντα μὴ ἀκολουθεῖν τούτοις τοῖς αἰτίοις, καὶ τὴν αἰτίαν τὴν ἐξ αὐτοῦ, πάντως ἐκείνοις συνάπτειν, (ὥστε οὐδὲ τὸν ἀπὸ ὕψους ἀφέντα λίθον μὴ κάτω φέρεσθαι, ἢ τὴν σφαῖραν κατὰ τοῦ πρανοῦς μὴ κωλύεσθαι ἀφεθεῖσαν κατ' αὐτοῦ) τίς ἔτι χρεία νόμων; ὡς γὰρ ὁ λίθος οὐκ ἂν ὑπὸ τοῦ λέγοντος, μὴ δεῖν κάτω φέρεσθαι, κωλυθείη ποτ' ἂν, τῷ αὐτός τε τὴν φύσιν εἶναι τοιοῦτος, τά τε ἔξωθεν αἴτια ἔχειν συνεργὰ πρὸς τοῦτο· οὕτως οὐδὲ ἡμῶν τις πεισθείη ποτ' ἂν, λόγῳ ἢ νόμῳ ἄλλως ἀξιοῦν τι πράττειν, παρὰ τὴν τῶν περιεστώτων ἀνάγκην. οὐ γὰρ πλέον τι ἡμῖν, ἐκ τοῦ συνιέναι τῶν προστασσομένων ὑπὸ τῶν νόμων. ἔχουσι προκαταβεβλημένας αἰτίας, αἷς περιεστώσαις ἀκολουθεῖν τὴν ὁρμὴν ἀνάγκη. οὕτω δὲ ἀναιροῖτ' ἂν τὸ ἐκ τῶν νόμων χρήσιμον, εἴγε οἱ μὲν νόμοι προστακτικοὶ μέν εἰσι τῶν ποιητέων, ἀπαγορευτικοὶ δὲ τῶν οὐ ποιητέων. οὐχ ἕπεται δὲ τῇ τῶν νόμων προστάξει τὸ καθ' ὁρμὴν ἡμᾶς ἐνεργεῖν, ὅταν τὰ περιεστῶτα αἴτια ἐξ ἀνάγκης ἡμᾶς, ἐπ'

ἀλλά τινα κινῇ τε καὶ φέρῃ. ἀναιρουμένου δὲ διὰ τὴν τοιαύτην εἱμαρμένην τοῦ ἀπὸ τῶν νόμων χρησίμου, ἀναιροῖντ' ἂν καὶ οἱ νόμοι. τί γὰρ ὄφελος νόμων, οἷς πείθεσθαι τὴν ἐξουσίαν ἀπὸ τῆς εἱμαρμένης ἀφῃρήμεθα; οὐκ ἄρα τῷ τοιαύτην εἶναι τὴν εἱμαρμένην, ἕπεται τὸν νόμον εἶναι. ἐναντία γὰρ εἱμαρμένη τε καὶ νόμος· εἴ γε ὁ μὲν νόμος προστακτικὸς ἐστὶ τῶν πρακτέων τε καὶ μή, ὡς τῶν πραττόντων δυναμένων αὐτῷ πείθεσθαι κελεύοντι. διὸ καὶ τοὺς μὴ πειθομένους, ὡς ἁμαρτάνοντας ζημιοῖ, τιμῶν τοὺς πειθομένους ὡς κατορθοῦντας. ἡ δὲ εἱμαρμένη, πάντα τὰ γινόμενα, ἀναγκαίως δὲ καὶ δι' ὁμοίας αἰτίας φησὶ γίνεσθαι, τῶν δὲ δι' ὁμοίας γινομένων αἰτίας, οὐχ οἷόν τε τὰ μὲν ἁμαρτήματα λέγειν, τὰ δὲ κατορθώματα. εἰ γὰρ λέγει τις καὶ τὸν νόμον ἐν τοῖς ἀναγκαίοις τε καὶ προκαταβεβλημένοις ὑπὸ τῆς εἱμαρμένης αἰτίοις εἶναι, δῆλον ὡς καὶ τοῖς πράσσουσι καθ' ὁρμὴν τὰ καθ' αὐτοὺς ἐν τοῖς περιεστῶσιν αἰτίοις, καὶ αὐτὸς ἔσται κατηναγκασμένος. οὐ περιστήσεται δὲ τοῖς πράττουσι τὰ μὴ κατ' αὐτούς. οἱ δὲ ταύτην τοῦ μὴ πράσσειν τὰ κατὰ τοὺς νόμους ἔχοντες τὴν αἰτίαν, πρόδηλον ὡς οὐκ ἂν ψέγοιντο. πῶς γὰρ ἄξιοι; τὸ γοῦν ἐν τοῖς περιεστῶσι κατ' ἀνάγκην αἰτίοις, οἷς μὴ ἕπεσθαι τὴν ὁρμὴν οὐχ οἷόν τε, οὐκ ἦν ἐκ τῶν νόμων αἰτία, κατ' ἀνάγκην τινὰ καὶ εἱμαρμένην παρεῖναι κεκωλυμένην. ἀλλὰ οὕτω γε οὐδ' ἂν νόμος ἔτι εἴη, οὐκ ἔχων καὶ πειθομένους αὐτῷ, εἴ γε χρὴ τούτῳ πείθεσθαι λέγειν ἐξ ἀνάγκης ἑπομένους, καὶ τοὺς μὴ πειθομένους ὑπὸ ἀνάγκης τι-

νὸς πείθεσθαι κεκωλυμένους. ὥστε πολὺ ἂν ἀληθέστερον εἴη, συνειλημμένον, τὸ, εἰ ἔστι τοιαύτη εἱμαρμένη, οὐκ ἔστι νόμος· ἀναιρουμένου δὲ νόμου, καὶ σὺν αὐτῷ ἁμαρτήματός τε καὶ κατορθώματος, ἀναιροῖτ' ἄν, ὡς καὶ αὐτοὶ διὰ τῆς ἀκολουθίας ἐλάμβανον αὐτῆς κατὰ τὸν λόγον, ἀρετή τε καὶ κακία, καὶ τὸ εἶναι τι ἐν ἀνθρώποις, αἰσχρόν τε καὶ καλὸν, καὶ ἐπαινετὸν καὶ ψεκτὸν, καὶ τιμῆς τε καὶ κολάσεως ἄξιον. οὐδὲν ἄρα μένει, τοῦ ὑπὸ τοῦ μετὰ τοσαύτης τέχνης ἠρωτημένου λόγου κατεσκευασμένον, ἀκολουθήσαι τὲ αὐτοῖς ἀρξαμένων κάτωθεν ἀκολουθία, ἣν ἐπειδὴ λέγουσι τοῖς ἀναιρεῖν πειρωμένοις τὸ ἐφ' ἡμῖν εἶναι, πῶς αὐτοὶ τηροῦντες ὁμολογουμένως αὐτὸ, διὰ τοῦ περιλαβόντας ἄλλοις ἐπιφέρειν αὐτὰ τὸ μὴ δοκεῖν ἔχεσθαι τὸ καὶ τοῖς διαφυλάττειν ἡγουμένοις. εἰ γὰρ μὴ εἰσὶ τιμαὶ, μηδὲ κολάσεις, οὐδὲ ἔπαινοι, οὐδὲ ψόγοι· εἰ δὲ μὴ ταῦτα, οὐδὲ κατορθώματά τε καὶ ἁμαρτήματα· εἰ δὲ μὴ ταῦτα, οὐδὲ ἀρετὴ καὶ κακία· εἰ δὲ μὴ ταῦτα, φασὶν, ὅτι μηδὲ θεοί. ἀλλὰ μὴν τὸ πρῶτον, τὸ μὴ εἶναι τιμὰς, μήτε κολάσεις, οὐδὲ ἕπεται τῷ πάντα γίνεσθαι καθ' εἱμαρμένην, ὡς δέδεικται. τὸ τελευταῖον ἄρα, ὃ ἄτοπον καὶ ἀδύνατον, ἀναιρετέον, τὸ πάντα γίνεσθαι καθ' εἱμαρμένην, ᾧ τοῦτ' εἵπετο.

Ἴδωμεν δὲ καὶ ἐπὶ τούτῳ λόγον ἠρωτημένον, εἰ μὴ τὰς ὁμοίας ἀνάγκας ἔχει. λέγει δὲ οὕτως. οὐ πάντα μὲν ἐστὶ καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις· οὐδέ ἐστι μὲν τοῦτο, οὐκ ἔστι δὲ κόσμος· οὐδὲ ἔστι μὲν κόσμος, οὐκ εἰσὶ δὲ θεοί. εἰ δὲ εἰσὶ θεοί,

θεοί, εἰσὶν ἀγαθοὶ οἱ θεοί. ἀλλὰ, εἰ τοῦτο ἔστιν, ἀρετή· ἀλλ' εἰ ἔστιν ἀρετὴ, ἔστι φρόνησις· ἀλλ' εἰ τοῦτο, ἔστιν ἡ ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων. ἀλλὰ ποιητέα μέν ἐστι τὰ κατορθώματα, οὐ ποιητέα δὲ τὰ ἁμαρτήματα. οὐκ ἄρα πᾶν μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἁμάρτημα καὶ κατόρθωμα· ἀλλὰ τὰ μὲν κατορθώματα καλὰ, τὰ δὲ ἁμαρτήματα αἰσχρά· καὶ τὰ μὲν καλὰ ἐπαινετὰ, τὰ δὲ κακὰ ψεκτά· οὐκ ἄρα πάντα μὲν εἰσὶ καθ' εἱμαρμένην, οὐκ εἰσὶ δὲ ἐπαινετὰ καὶ ψεκτά· ἀλλ' εἰ τοῦτο, εἰσὶν ἔπαινοι καὶ ψόγοι· ἀλλ' ἃ μὲν ἐπαινοῦμεν, τιμῶμεν, ἃ δὲ ψέγομεν, κολάζομεν· καὶ ὁ μὲν τιμῶν γεραίρει, ὁ δὲ κολάζων ἐπανορθοῖ· οὐκ ἄρα πάντα μὲν γίνεται καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ γεραίρειν καὶ ἐπανορθοῦν. καὶ οὗτος δὴ ὁ λόγος, ἀπὸ τῆς αὐτῆς παλαίστρας ὤν, δῆλον ὡς διὰ τῶν αὐτῶν ἂν ψευδὴς ὢν ἐλέγχοιτο. πρῶτον μὲν γὰρ ἄν, τίς συγχωρήσει προχείρως, τὸ οὐ πάντα μέν ἐστι καθ' εἱμαρμένην, οὐκ ἔστι δὲ ἀκώλυτος καὶ ἀπαρεμπόδιστος ἡ τοῦ κόσμου διοίκησις; ἐν τῷ γίνεσθαι τὰ μὲν ἐξ ἀνάγκης, τὰ δὲ ἐνδεχομένως, καὶ τούτων, τὰ μὲν κατὰ φύσιν, τὰ δὲ κατὰ προαίρεσίν τε καὶ λόγον, τὰ δὲ καθ' ὁρμήν, τὰ δ' ἀπὸ τύχης τε καὶ αὐτομάτως. ἀναιρεῖται δὲ πάντα τὰ ἄλλα ὑπὸ τῆς εἱμαρμένης. οὐκ ἄρα οὐκ ἀνεμπόδιστος, οὐδὲ ἀκώλυτος ἡ τοῦ κόσμου διοίκησις μένει. ἀλλ' εἰ συγχωρηθείη τοῦτό τε καὶ τὸ κόσμον εἶναι, καὶ κόσμου ὄντος θεοὺς, (καί τοι κατ' Ἐπίκουρον ἐκτὸς ὄντας αὐτοὺς) καὶ τούτους θεοὺς ἀγαθοὺς εἶναι, εἴη δὲ καὶ τὸ ἀρετὴν εἶναι τοῖς θεοῖς ἑπόμενον, πῶς τῷ τὴν τῶν θεῶν ἀρετὴν εἶναι, ἕποιτ' ἂν τὸ εἶναι φρόνησιν; τίς γὰρ ἡ τῆς ἀκολουθίας ταύτης

ἀνάγκη; εἰ μὲν γὰρ ἦν εἰλημμένον τὸ τὴν ἀνθρώπων ἀρετὴν εἶναι, ἕποιτ' ἂν τούτῳ καὶ ἡ φρόνησις. ἐπεὶ δ' ἐκ τῶν κειμένων εἴληπται τὸ τὴν θεῶν ἀρετὴν εἶναι, πῶς ἂν ἔτι ἕποιτο τῇ τῶν θεῶν ἀρετῇ φρόνησις, ἀνθρώπων οὖσα ἀρετή; οὐ γὰρ τὰς αὐτὰς ἀρετὰς οἷόν τε λέγειν εἶναι τῶν τε ἀνθρώπων καὶ τῶν θεῶν. οὔτε γὰρ ἄλλως ἀληθὲς τὸ τὰς τῶν τοσοῦτον ἀλλήλων κατὰ τὴν φύσιν διεστώτων τὰς αὐτὰς τελειότητάς τε καὶ ἀρετὰς λέγειν, οὔθ' οἱ πρὸς αὐτῶν περὶ αὐτῶν λεγόμενοι λόγοι εὔλογόν τι ἐν αὑτοῖς ἔχουσιν. ἀνθρώπου δὲ ἡ φρόνησις ἀρετὴ, ἥ ἐστιν, ὥς φασιν, ἐπιστήμη ποιητέων τε καὶ οὐ ποιητέων. ἐν οἷς γὰρ οἷόν τε πραχθῆναί τι καὶ τῶν ποιητέων, ἐν τούτοις ἡ ποιητέων τε καὶ οὐ ποιητέων ἐπιστήμη χώραν ἔχει. ἀλλὰ μὴν πάντων γινομένων καθ' εἱμαρμένην, ἄχρηστος ἡ γνῶσις τῶν ποιητέων τε καὶ μή. τί γὰρ ὄφελος τῆς τοιαύτης γνώσεως, τοῖς μηδὲν, ὧν πράττουσι, φυλάξασθαι δυναμένοις; εἰ δὲ μηδὲν ἡ τούτων ἐπιστήμη χρήσιμον, ἀναιροῖτ' ἂν ἡ φρόνησις· ὡς εἶναι τὴν ἀκολουθίαν ἀληθεστέραν, τὴν, εἰ ἔστιν εἱμαρμένη, μὴ εἶναι φρόνησιν. καθ' ὃν γὰρ λόγον ὁ νόμος ἀνῃρεῖτο, κειμένης τῆς εἱμαρμένης, κατὰ τοῦτον ἀναιρεθήσεται καὶ φρόνησις, ἧς ἀναιρουμένης, δῆλον ὡς καὶ τῶν ἄλλων ἕκαστον ἀναιροῖτ' ἂν, καὶ τῶν κατὰ τὴν ἀκολουθίαν τὴν πρὸς τὴν φρόνησιν τιθεμένων. ὅτι δὲ μηδὲ οἱ ἐκ τοῦ δεικνύναι τὴν καθ' ὁρμὴν κίνησιν τοῖς ζῴοις μένουσαν πάντων γινομένων καθ' εἱμαρμένην, σῴζουσι τὸ ἐφ' ἡμῖν, εἰ μὴ βούλοιτό τις ἁπλῶς, τὸ ὑπό τινος καὶ τὴν οἰκείαν γινόμε-

νόμε-

νόμενον φύσιν ἐπ' ἐκείνῳ λέγειν, ἄλλό τι σημαινόμενον τοῦ ἐφ' ἡμῖν εἰσάγων, παρὰ τὸ πεπιστευμένον τε καὶ προειλημμένον, ὃ φαμὲν εἶναι διὰ τὸ ἔχειν ἡμᾶς ἐξουσίαν τῶν ἐν τοῖς πραττομένοις ἀντικειμένων, φθάνει διὰ τῶν πρώτων πλεονάκις εἰρῆσθαί τε καὶ δεδεῖχθαι. παραπλήσιοι δὲ τούτοις, καὶ ὅσους ἄλλους εἰς σύστασιν τοῦδε τοῦ δόγματος λόγους παρατίθενται· ἐπὶ πλέον καὶ μέχρι ῥημάτων τὴν κομψείαν ἔχοντες, ἀλλ' οὐκ ἐκ τῆς πρὸς τὰ πράγματα, περὶ ὧν λέγονται, συμφωνίας τὴν πίστιν λαμβάνοντες.

Ταῦτα, ὑμεῖς ὦ θειότατοι αὐτοκράτορες, τῆς Ἀριστοτέλους δόξης περί τε εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν, κατ' ἐμὴν δόξαν, τὰ κεφάλαια· καθ' ἣν δοξάζοντες, εἴς τε θεοὺς εὐσεβήσομεν, τὰ μὲν εἰδότες αὐτοῖς χάριν, ἀνθ' ὧν φθάνομεν ὑπ' αὐτῶν εὖ πεπονθότες, τὰ δὲ αἰτούμενοι παρ' αὐτῶν, ὡς ὄντων καὶ τοῦ δοῦναι καὶ τοῦ μὴ κυρίων· ἐσόμεθα δὲ περί τε ὑμᾶς καὶ περὶ τοὺς ὑμῖν ὁμοίους ἄρχοντας οὐκ ἀχάριστοι. τοιαῦτα πράττεται ὑφ' ὑμῶν εἰς ἡμᾶς· * καὶ ἡ περὶ ἡμῶν οἰκεία προαίρεσις, πράττειν ὑμᾶς, αἱρέσει τοῦ βελτίονος καὶ τοῦ περὶ τὴν κρίσιν αὐτοῦ φροντίζειν, ποιοῦντας, ἃ ποιεῖτε, ἀλλ' οὐ προκαταβεβλημένοις τισὶν αἰτίοις ἑπομένους, οἷς ἀναγκαῖον ἕπεσθαι, ᾗ ἂν ἐκεῖνα ἄγῃ· ποιησόμεθα δὲ καὶ ἀρετῆς ἐπιμέλειαν, ὡς ὄντες αὐτοὶ κύριοι τοῦ βελτίους ἢ χείρους γίνεσθαι. τούτων γὰρ μόνον κύριός τις ὤν, καὶ τοῦ μὴ πράττειν αὐτοὺς ἔχει τὴν ἐξουσίαν· καὶ τὰ ἄλλα δὲ,

ὅσα πράττομεν κατὰ τὸν βίον, ὅτι μόνως εὐλόγως πράττειν ἂν δοκοῖμεν, εἰ κατὰ τὴν Ἀριστοτέλους δόξαν περὶ αὐτῆς ἀποδιδοίημεν τὰς αἰτίας, διὰ παντὸς ἐπειράθην ἡμῖν παραστῆσαι τοῦ λόγου.

ΤΕΛΟΣ.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0083-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0084-8

Ce 811: 8
(X 220 3041)
M

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-124322-p0085-4

tur aduersus humani gene
ris communem principem repug
natiuum deduxit: ducem
quendam ac magistrum mili
cie sue scientem diuina pli
gere: et inuictum castra duc
tare. Iste adueniens ex orientis
partibus: ut celestis quidam ne
gociator: incrementa diuini
luminis si quis sit compare
paratus aduexit: et saluatoris p

omnibus permanere
pus ab obsecrando desisti
quam que orauerant in
tiarent. Et hec fuit cau
tendi: quod sedem marcum
citur euangelium. Petrus
per spiritum sanctum religiose spolia
compit furto delectatus
dem eorum per hec deuotione
considerans: firmique consi
uit: et imperpetuum legendam
scripturam ecclesiis tradid

# ΑΛΕΞΑΝΔΡΟΥ

ΑΦΡΟΔΙΣΙΕΩΣ,

πρὸς τοὺς αὐτοκράτορας

περὶ εἱμαρμένης, καὶ τοῦ ἐφ' ἡμῖν.

Doctissimo viro Joachimo Jonasio bonarum artium magistro

# ALEXANDRI

APHRODIENSIS

Jo. Caselius

AD IMPP.

*DE FATO, DE QVE EO,*

*quod in nostra potestate est:*

*LIBER*

*Editus studio & opera*

*JOANNIS CASELII.*

Rostochij Typis Myliandrinis.

ANNO

CIↃ. IↃ. XIIC.

LUEBECKISCHE STADT-BIBLIOTHEK

DUPLUM. EX BIBL. LUBECENS.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt

urn:nbn:de:gbv:3:1-124322-p0087-5